




[illegible]

[illegible]

[illegible]



ΙΣΤΟΡΙΚΗ ΔΙΔΑΣΚΑΛΙΑ

ΠΕΡΙ

ΤΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΣΥΓΓΡΑΦΕΙΣΑ ΜΕΝ ΡΩΣΣΙΣΤΙ

ΥΠΟ ΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΤΣΕΡΝΙΓΟΒΟΥ

ΦΙΛΑΡΕΤΟΥ

Ἐξελληνισθεῖσα δὲ

ὑπὸ

ΝΕΟΦΥΤΟΥ ΠΑΓΙΔΑ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ

Ἐκδίδοται κελεύσει

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΚΑΙ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

ΝΙΚΟΔΗΜΟΥ ΤΟΥ Α΄.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.






ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΟΥ Π. ΤΑΦΟΥ.


1887.





Πρᾶξις Τυπογραφείου. Ἀριθ. 119.





ΙΣΤΟΡΙΚΗ ΔΙΔΑΣΚΑΛΙΑ.



ΤΟΜΟΣ ΤΡΙΤΟΣ.



ΠΕΡΙΟΔΟΣ ΔΕΥΤΕΡΑ
ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ
Ἀπὸ τοῦ 420ου ἔτους μέχρι τοῦ 610ου.

§. 190. Γενικαὶ ἔννοιαι περὶ τοῦ χρόνου τούτου· ἀντικείμενα τῆς διδασκαλίας.

Κατὰ τὸν πέμπτον καὶ ἕκτον αἰῶνα ἡ τῶν πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας προσοχὴ ἐστράφη κατ' ἐξοχὴν ἐπὶ τοὺς Πελαγιανούς, τοὺς Νεστοριανούς, καὶ τὸν Εὐτυχῆ μετὰ τῶν ποικιλομόρφων αὐτοῦ ὀπαδῶν. Ὁ Πελάγιος μετὰ τοῦ Καιλεστίου ἐδίδασκεν α'.] ὅτι ὁ Ἀδὰμ ἐπλάσθη θνητὸς καὶ ἔμελλεν ἀποθανεῖν εἴτε ἡμάρτανεν, εἴτε μή, β'.] ὅτι ἡ ἁμαρτία τοῦ Ἀδὰμ αὐτὸν μόνον ἔβλαψε καὶ οὐ διεδόθη τοῖς ἀπογόνοις αὐτοῦ, γ'.] ὅτι τὰ ἀρτιγενῆ βρέφη ἔχουσιν οὕτως, ὡς ὁ Ἀδὰμ πρὶν ἢ ἁμάρτῃ, δ'.] ὅτι ἡ ἁμαρτία τοῦ Ἀδὰμ οὐκ ἔστιν ἡ αἰτία τοῦ θανάτου ἅπαντος τοῦ ἀνθρωπίνου γένους, οὐδ' ἡ ἀνάστασις τοῦ Ἰησοῦ Χριστοῦ ἡ τῆς ἀναστάσεως ἁπάντων τῶν ἀνθρώπων, ε'.] ὅτι τὰ βρέφη, καὶ ἀβάπτιστα θανέντα, τυγχάνουσι τῆς αἰωνίου ζωῆς, ς'.] ὅτι ὁ Μωσαϊκὸς νόμος ἄγει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ὡς καὶ τὸ Εὐαγγέλιον, ζ'.] ὅτι καὶ πρὸ τῆς ἐπὶ γῆς ἐπιφανείας τοῦ Ἰησοῦ Χριστοῦ ἐγένοντο ἄνθρωποι ἀναμάρτητοι, ἤτοι ἄνευ ἁμαρτίας (1). Ἡ διδασκαλία τοῦ Πε-

(1) Pelag. ad Demetriad. §. 3. de lib. arbitr. ap. August. de gest. Pelagii C. III. n. 5.

λαγίου ἐτάραξεν ἀπὸ τῆς ἀρχῆς τῆς ε΄. ἑκατονταετηρίδος μέχρι τοῦ τέλους τῆς ς΄. τὰ ρωμαϊκὰ φῦλα πρὸς μὲν τὰ δικαιώματα τῆς βουλήσεως ὡς τὰ πολλὰ σπουδάζοντα, τὰς δὲ θεωρίας, αἳ κατὰ τὸν αὐτὸν χρόνον διέσεισαν τὴν Ἀνατολήν, περὶ ἐλαχίστου ποιούμενα(1). Ἐν τῇ Ἀνατολῇ, διασκεδασθέντος ὑπὸ τῆς ἀληθείας τοῦ σκότους τῆς ἀμφιβολίας περὶ τῆς προσωπικῆς προαιωνίου ὑπάρξεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἤρξαντο διϊσχυρίζεσθαι τὸ ἀδύνατον τῆς ἑνώσεως Αὐτοῦ μετὰ τῆς ἀνθρωπίνης φύσεως. Ὁ Νεστόριος, ἀπὸ τοῦ 428—431 Πατριάρχης Κωνσταντινουπόλεως, ἐδίδασκεν, ὅτι ἡ Ὑπεραγία παρθένος Μαρία κλητέα Χριστοτόκος καὶ οὐ Θεοτόκος(2), ὅτι ἡ προσωπικὴ προσωνυμία τοῦ Κυρίου ἦν Χριστὸς καὶ οὐχὶ Ἐμμα-

---

(1) Ἡ αἵρεσις τοῦ Πελαγίου ἦν ἐν τῇ Ἀνατολῇ γνωστὴ α΄.] ἐκ τῶν ἐν Ἱεροσολύμοις καὶ Διοσπόλει ἢ Λύδδῃ τῷ 415 γενομένων συνόδων ὅτε ὁ Πελάγιος κατώρθωσεν ἀπάτῃ ἀθωωθῆναι. [Περὶ τῶν συνόδων τούτων βλ. Κοντογόνου ἱστορ. ἐκκλ. σελ. 588. Μαθὼν ὁ ἱερὸς Αὐγουστῖνος, ὅτι ἠθωώθη ὁ αἱρετικὸς οὗτος ὑπὸ τῆς ἐν Διοσπόλει συγκροτηθείσης συνόδου ἀρνησάμενος ἢ παρακαλύψας τὰς ἑαυτοῦ πλάνας, εἶπε: Tamen non haeresis est absoluta, sed homo haeresin negans. Σ. Μ.], β΄.] ἐκ τοῦ διατάγμ. τοῦ Αὐτοκράτ. Θεοδοσίου τοῦ νέου κατὰ τῶν πολιτικῶν ἀταξιῶν· γ΄.] ἐκ τοῦ ψηφίσματος τῆς ἐν Ἐφέσῳ γ΄ Οἰκ. Συνόδου· πρ. ε΄, δ΄.] ὁ Μάριος Μερκάτωρ (τῷ 429) ἔγραψε βίβλον: Commonitorium super nomine Caelestii, κυρίως, ὅπως καταστήσῃ τοῖς ἐν τῇ Ἀνατολῇ γνωστὴν τὴν τοῦ Πελαγίου διδασκαλίαν. Ἐν τῇ Δύσει καὶ τῇ Ἀφρικῇ συνεκροτήθησαν πολλαὶ σύνοδοι καὶ πολλὰ περὶ αὐτῆς ἐγράφησαν. Βλ. Walch geschishte Ketzereien IVer Band. B. W. Wigger pragmat geschichte d. Augustinismus, Berolin, 1833—1834.

(2) Νεστορ. ἐπ. γ΄ πρὸς Καιλεστῖνον: Ego ad hanc quidem vocem, quæ est Θεοτόκος, nisi secundum Apollinarii et Arii furorem ad confusionem naturarum profeFratur, volentibus dicere non resisto· nec tamen ambigo, quin hæc vox illi cedat—Χριστοτόκος, tanquam prolatæ ab Angelo et Evangeliis. [Γίγνεται δέ, λέγει ὁ μακάριος Θεοδώρητος, αὐτῷ πρῶτον τῆς καινοτομίας ἐγχείρημα τὸ μὴ δεῖν τὴν ἁγίαν Παρθένον, τὴν τὸν Θεοῦ Λόγον τεκοῦσαν ἐξ αὐτῆς σάρκα λαβόντα, Θεοτόκον ὁμολογεῖν, Χριστοτόκον δὲ μόνον». Περὶ Νεστορ. Σ. Μ.].

νουήλ, καὶ ὅτι ἡ ἕνωσις τῶν ἐν τῷ Χριστῷ δύο φύσεων ἦν ὅλως ἐξωτερικὴ καὶ καθαρῶς ἠθικὴ (συνάφεια σχετική). Ἐν τῇ Ἐνσαρκώσει ἑώρα ὁ Νεστόριος ἁπλῆν μόνον ἐνοίκησιν τοῦ Λόγου ἐν τῇ ἀνθρωπίνῃ φύσει· ὁ Χριστὸς ἦν ἁπλῶς κατ' αὐτὸν Θεοφόρος, κτήτωρ τῆς Θεότητος([1])· οὐκ ἦν Υἱὸς τοῦ Θεοῦ, καὶ οἱ προσκυνοῦντες Αὐτὸν ἦσαν νεκρολάτραι, ἀνθρωπολάτραι. Ὁ Νεστόριος παιδευθεὶς ἐν Συρίᾳ, ὅπου Θεόδωρος ὁ Μοψουεστίας ἐν τῇ ἑρμηνείᾳ τῆς Γραφῆς οὐδὲν ἕτερον ἑώρα πέραν τοῦ γράμματος, καὶ ὅπου ἡ διδασκαλία τοῦ Ἀπολλιναρίου ἤγειρε καθ' ἑαυτῆς ἰσχυρὰν ἀντίστασιν, δυνατὸς τῷ λόγῳ καὶ οὐχὶ τῷ νῷ, ὑπερήφανος εἰς ὑπερβολήν, καὶ σχετικὸς πρὸς τὴν κοσμικὴν ἐξουσίαν ἐνήργει ὡς πολέμιος τῆς διδασκαλίας τοῦ Ἀπολλιναρίου. Ἀποτέλεσμα τούτου ἦν ἡ ἐκ νέου ἀναβίωσις τῆς αἱρέσεως τοῦ Ἀπολλιναρίου. Ὁ Εὐτυχής, ἀντίπαλος ὢν τῷ Νεστορίῳ, ἐδίδασκεν ἀπὸ τοῦ 447 παρρησίᾳ καὶ μετ' ἰσχυρογνωμοσύνης μίαν φύσιν ἐν τῷ Χριστῷ μετὰ τὴν ἕνωσιν γεγενῆσθαι, τῆς ἀνθρωπότητος Αὐτοῦ καταποθείσης ὑπὸ τῆς Θεότητος([2]). Ἐν Αἰγύπτῳ, ἔνθα ὁ ἀρειανισμὸς τοσοῦτον ἐξέχεεν αἷμα, καὶ ἔνθα διετέλουν προσκείμενοι τῇ ἀλληγορικῇ τοῦ ἑρμηνεύειν τὴν Γραφὴν μεθόδῳ τοῦ Φίλωνος, ῥᾴδιον ἦν δελεασθῆναι πολλοὺς ὑπὸ διδασκαλίας τοσοῦτον ἐναντίας τῇ τοῦ θεοστυγοῦς Ἀρείου. Ἐντεῦθεν δ' ἐφάνη ἐν Αἰγύπτῳ πρότερον, ἢ ἀλλοθί που([3]). Ἐνταῦθα ἐστερεώθη ἐπὶ μακρὸν χρόνον ποικίλας λαβοῦσα μορφάς, καὶ ἐντεῦθεν διεδόθη ἀνὰ πᾶσαν τὴν Ἀνατολήν([4]).

([1]) Νεστόρ. Sermo de incarnat. §. 6. adv. Arium et Macedon. serm. ap. Mercator. ed. Garnieri Paris 1673. n. 3. Κύριλ. Ἀλ. ἐπ. πρὸς τὸν κλῆρον Κων]πόλεως §. 8. Εὐάγρ. ἐκκλ. ἱστ. α' 7. Σωκρ. ἐκκλ. ἱστ. ζ'. 32.

([2]) Liber. in breviar. Hist. c. II. 25. Θεοδώρ. Ἐραν. Β' σελ. 114. Λέων ἐπ. 26-28. Ὁ Εὐτυχὴς κατεδικάσθη α'] ἐν τῇ συνόδ. τῆς Κωνσταντ)λεως τῷ 448. β'] ἐν τῇ τῆς Χαλκηδόνος τῷ 451.

([3]) Πρὸ τοῦ Εὐτυχοῦς, ζῶντος ἔτι τοῦ Κυρίλλου, εἴχοντο ἐνταῦθά τινες τῆς δοξασίας τοῦ αἱρετικοῦ τούτου.

([4]) Σύν. ἐν Ἐφέσ. τῷ 449 (σύνοδος λῃστρική, Θεοφάν. χρονογρ. σ. 86. *Latrocinium ephesinum* ap. Leon. ep. 75). Τῆς συνόδου ταύτης προεξῆρχεν Διόσκορος ὁ Ἀλεξανδρ. Τῷ 452 ὁ αἰγύπτιος μονα-

Αἱ αἱρέσεις τοῦ Νεστορίου καὶ τοῦ Εὐτυχοῦς ἔστρεψαν καθ' ἑαυτῶν τὸν ἔνθεον ζῆλον τῶν πατέρων καὶ διδασκάλων τῆς Ἀνατολῆς τοσοῦτον, ὅσον ἡ τοῦ Πελαγίου ἀπησχόλησε τὴν Δύσιν.

Οἱ μαθηταὶ τῶν μεγάλων διδασκάλων τοῦ τετάρτου αἰῶνος, καὶ κατ' ἐξοχὴν οἱ τοῦ Χρυσοστόμου, ἐνόσῳ ἔζων, εἵλκυον τὴν προσοχὴν τῶν συγχρόνων αὐτοῖς ἐκ τῶν ἀκάρπων ἐρίδων εἰς σωτηρίους ὑποθέσεις. Ἑπόμενοι τῷ παραδείγματι τῶν μεγάλων διδασκάλων, ἡρμήνευον τὴν ἁγίαν Γραφὴν ἢ ἐδίδασκον τοὺς πιστοὺς τὰ εἰς τὸν πνευματικὸν καὶ ἠθικὸν βίον ἀφορῶντα. Ὡς πρὸς τὸ τελευταῖον ἀξιολογώτατά εἰσι τὰ συγγράμματα τὰ καταλειφθέν-

---

χος Θεοδόσιος ἐποιεῖτο ὁδοιπορίας ἀνὰ πᾶσαν τὴν Παλαιστίνην, ἵνα διαδῷ τὴν αἵρεσιν τοῦ Εὐτυχοῦς. Μετὰ τὸν φονευθέντα Προτέριον Τιμόθεος ὁ Αἴλουρος, ἐπ. Ἀλεξανδρείας, ἦν φανερὸς μονοφυσίτης. Ὁ Ζήνων ἔπεμψεν εἰς Αἴγυπτον (τῷ 480) τὸ ἑνωτικὸν αὐτοῦ. Πέτρος ὁ Μογγός, ἀναβὰς ἐπὶ τὸν θρόνον τῆς Ἀλεξανδρείας, πρῶτος ὑπέγραψεν αὐτό, ἀλλὰ πολλοὶ μονοφυσῖται ἀγανακτήσαντες ἐπὶ τούτῳ, ἐχωρίσθησαν ἀπ' αὐτοῦ, δι' ὃ ἐκλήθησαν Ἀκέφαλοι. Ὁ Αὐτοκράτωρ Ἀναστάσιος (τῷ 491—518) ἐνόμισεν, ὅτι καταπαύσει τὰς ταραχάς, ἐὰν καταστήσῃ διὰ τῆς βίας ἅπαντας ἀδιαφόρους περί τε τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος. Ἐπὶ τοῦ Ἰουστίνου (τῷ 518-527) ἐγένετο ἡ Αἴγυπτος τὸ καταγώγιον ἁπάντων τῶν μονοφυσιτῶν, καὶ ἐνταῦθα διῃρέθη ὁ μονοφυσιτισμὸς εἰς πολλὰς μερίδας. Ἡ μερὶς τοῦ ἐπισκ. Ἀλικαρνασσοῦ τῆς Καρίας ἐπέμενε τῇ δοξασίᾳ περὶ τῆς μεταβολῆς τῆς ἀνθρωπότητος τοῦ Ἰησοῦ Χριστοῦ εἰς τὴν θεότητα (Ἀφθαρτοδοκῆται). Ἡ μερὶς Σεβήρου (τῶν Φθαρτολατρῶν) παρεδέχετο τὸ φθαρτὸν τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ. Ἐν τοῖς πρώτοις ἐφάνησαν ἔπειτα οἱ Ἀκτιστῖται καὶ Κτισιολάτραι. Ἀπὸ τῶν Σεβηριανῶν ἐχωρίσθησαν οἱ Ἀγνοηταὶ ἢ Θεμιστιανοί. (Τιμόθ. ὁ πρεσβύτ. de recept. haereticor. ap. Coteler. monum. 3. 396. Εὐλόγ. παρὰ Φωτ. ἀνάγν. 227. 230. Ἀναστ. ὁδηγ. ε' 23). Ἡ αἵρεσις τῶν μονοφυσιτῶν διετηρήθη ἐπὶ πολὺ κυρίως ἐν Ἀβυσσηνίᾳ. Oertel Theol. Aethiop. Vitemb. 1748. 8. Macrizii hist. Coptor. Christ. in Aeg. Witzer. Solisb. 1827. Ἐν Συρίᾳ ὁ Ἰάκωβος Βαραδαῖος ἢ Ζάνζαλος διέδωκε καὶ ἐστήριξεν αὐτήν. (Assem. Bibl. Or. T. II. de Monophysitis). Ἐντεῦθεν μετέβη εἰς τὴν Ἀρμενίαν.

τα ὑπὸ τῶν ἀναχωρητῶν τοῦ πέμπτου καὶ ἕκτου αἰῶνος. Ὁ ἕκτος αἰὼν κατέλιπε τοῖς ἐπιγιγνομένοις καὶ ὡραῖα ἐκκλησιαστικὰ ᾄσματα.

§. 191. Βοηθήματα πρὸς ἐκπαίδευσιν. Πατέρες τῆς Ἐκκλησίας.

Τὰ πρὸς τὴν ἐκπαίδευσιν βοηθήματα κατὰ τὸν ε΄. καὶ ς΄. αἰῶνα ὁτὲ μὲν ἦσαν πενιχρά, ὁτὲ δὲ οὐ προσηκόντως ἐχρῶντο αὐτοῖς.

Κατὰ τὴν ἐπὶ τοῦ Βασιλίσκου (τῷ 476) γενομένην τοῦ λαοῦ στάσιν κατεκάη ἡ ὑπερμεγέθης βιβλιοθήκη τῆς Κωνσταντινουπόλεως. Καθίδρυσε μὲν νέαν ὁ Ζήνων καὶ συνέλεξε πολλὰ βιβλία, ἀλλ᾽ οὔτε τὰ διατάγματα αὐτοῦ, οὔτε τὰ περιστατικὰ ἀπέδοσαν τῷ αἰῶνι τὸ ἀπολεσθέν. Ὁ Ἰουστινιανός, ὅστις ἠσχολεῖτο ἐνίοτε περὶ πράγματα ἀλλότρια αὐτοῦ, εἰ καὶ ἀείποτε ἦν ζηλωτὴς τῆς πίστεως, ἔκλεισε τὰ τῶν Ἀθηνῶν διδασκαλεῖα, ἐν οἷς μέχρι τούτου τοῦ χρόνου ἐδιδάσκοντο ἡ ἀρχαία φιλολογία καὶ ἡ φιλοσοφία τοῦ Πλάτωνος (¹). Πρὸ δὲ τούτου διέκοψεν ἐν ἄλλαις πόλεσι τὰς μισθοδοσίας τῶν δημοσίων διδασκάλων, μεταστρέψας τὰ χρήματα εἰς οἰκοδόμησιν ναῶν(²). Μόνος ὁ Ἀριστοτέλης ἦν σεβαστὸς καὶ δὴ καὶ πολλῷ πλέον, ἢ πρότερον. Τὰ ἐπακολουθήματα τούτου ἐφάνησαν καὶ κατὰ τὸν ς΄. αἰῶνα. Ἡ διαλεκτικὴ τοῦ Σταγειρίτου ἐκύκησε τὰς κεφαλὰς καὶ διήγειρεν ἀπεράντους ἔριδας (³). Στερούμενοι οἱ τότε βασίμου παιδείας, ἐλαυ-

(¹) Τῷ 564 ὁ Ἰουστινιανὸς παρεσύρθη ὑπὸ τῆς δοξασίας τῶν μονοφυσιτῶν περὶ τῆς ἀφθαρσίας τοῦ σώματος τοῦ Χριστοῦ καὶ πρὸ τῆς ἀναστάσεως (Εὐάγρ. δ΄. 39), καὶ ἐξώρισε τὸν ἅγ. Πατριάρ. Εὐτύχιον, ἅτε δὴ οὐ συμφωνοῦντα αὐτῷ. Ὁ λόγος αὐτοῦ κατὰ τοῦ Ὠριγένους, ἡ ὁμολογία τῆς πίστεως κατὰ τῶν τριῶν κεφαλαίων, ὁ τύπος πρὸς τὴν ἁγίαν πέμπτην σύνοδον περὶ Θεοδώρου τοῦ Μοψουεστίας, καὶ ἡ ἐπιστολὴ πρός τινας γράψαντας καὶ ἐκδικήσαντας Θεόδωρον καὶ τὰ αὐτοῦ δόγματα, καὶ τὴν λεγομένην τοῦ Ἴβα ἐπιστολήν, καὶ τὰ συγγράμματα Θεοδωρήτου, τὰ κατὰ τῆς ὀρθῆς πίστεως γεγραμμένα ap. Mansi collect. Concil. IX.—

(²) Ἀγαθ. ἱστορ. β΄ 50.

(³) Βλ. Semler. Sel. c. I. 373. s. Πρόδηλοι αἱ θέσεις τοῦ Ἀριστοτέλους παρὰ τοῖς μονοφυσίταις: οὐδεμία φύσις δύναται εἶναι ἄνευ ὑπο-

νόμενοι δὲ ὑπὸ τοῦ πάθους τῆς ἀδολεσχίας, ἐλάλουν πολλὰ καὶ κενὰ ἐννοιῶν[*]. Κατὰ τὸν πέμπτον αἰῶνα καὶ τὴν ἀρχὴν τοῦ ἕκτου ἤκμαζον ἔτι ἱκανῶς αἱ ἐκκλησιαστικαὶ σχολαὶ τῆς Ἀντιοχείας (1), τῆς Κων]πόλεως (2), καὶ τῆς Ἱππῶνος (3). Ὁ Εὐάγριος γράφει, ὅτι ἐδιδάσκοντο ἐν ταῖς μοναῖς αἱ ἱεραὶ ἐπιστῆμαι (4). Τοῦτο δὲ δείκνυται καὶ ὑπὸ ἄλλων μνημείων τοῦ πέμπτου καὶ ἕκτου αἰῶνος (5).

Οἱ ποιμένες τῆς Ἐκκλησίας ἐμερίμνων συνῳδὰ τῇ κλήσει αὐτῶν περὶ τῆς χριστιανικῆς ἐκπαιδεύσεως. Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἐμόρφωσε διὰ τὴν Ἐκκλησίαν ἄνδρας, οἳ ἦσαν ἡ δόξα καὶ τὸ ἀγλάϊσμα τοῦ χρόνου αὐτῶν. Μαθηταὶ αὐτοῦ ἦσαν Ἰσίδωρος ὁ Πηλουσιώτης, Μάρκος ὁ κατ' ἐξοχὴν Ἀσκητὴς ἐπικλη-

---

κειμένου· ἐν τῷ ἀριθμῷ ἄφευκτος ἡ διαίρεσις. Ἰωάννης ὁ Φιλόπονος (τῷ 560), τῆς ἀριστοτελικῆς φιλοσ. λιπαρώτατος σπουδαστής, ἀπέβη μονοφυσίτης, μετὰ δὲ ταῦτα καὶ τριθεΐτης ἀρχίπλανος. (Φ. ἀνάγν. 21-23. 50, 55, 75. Λεόντιος περὶ αἱρέσ. πρ. ε'. Νικηφ. ιη' 45-59). Τὰ συγγράμματα αὐτοῦ μετεφράσθησαν εἰς τὴν συρ. γλῶσσαν, καὶ ἦσαν σεβαστὰ τοῖς μονοφυσίταις. Πρὸ τοῦ Φιλοπόνου ἐμελέτων καὶ ἐδίδασκον τὴν φιλοσοφίαν τοῦ Ἀριστοτέλους Αἰνείας ὁ Γαζαῖος, ἀνασκευάσας τὸν νεοπλατωνικὸν Πρόκλον, (Διάλογος περὶ ἀθανασίας ψυχῆς καὶ ἀναστάσεως σωμάτων, Θεόφραστος ἐπιγραφόμενος), καὶ Ζαχαρίας ὁ Μιτυλήνης ἐπὶ τοῦ Ἰουστινιανοῦ (συνέγραψε τὸν καὶ εἰς ἡμᾶς ἀποσωθέντα Διάλογον περὶ δημιουργίας τοῦ κόσμου κατὰ φιλοσόφων, Ἀμμώνιον ἐπιγράψας). Πρβλ. Ritter gesch. d. philosophie. 2. th. 449-514.

[*] Βλ. περὶ Γρηγορίου τοῦ Μ.— Γρηγόριος ὁ Τουρώνης ἐπ. λέγει περὶ ἑαυτοῦ, ὅτι ἠγνόει τὴν γραμματικὴν καὶ τὴν ῥητορικήν (præf. ad lib. de confessor).

(1) Τὸ τῆς Ἐδέσσης ἐκλείσθη τῷ 442, καὶ οἱ διδάσκαλοι μετέβησαν εἰς Νίσιβιν. Ὁ Κασσιόδωρος ποιεῖται μετ' ἐπαίνων λόγον περὶ τῆς σχολῆς τῆς τελευταίας πόλεως. Ἐνταῦθα ἐδιδάσκετο κατ' ἐξοχὴν ἡ ἑρμηνεία τῆς ἁγ. Γραφῆς, ἀλλὰ καὶ ἐνταῦθα ἐφάνη ταχέως ὁ νεστοριανισμός. (Assem. Bibl. Or. T. 3. P. 2.) Περὶ τῆς σχολῆς τῆς Ἀντιοχείας βλ. Θεοδώρητον.

(2) Codex theodos. de scholis et professor.

(3) Possidon. in v. Augustini. §. 10, 11.

(4) Ἱστορ. Ἐκκλ. δ' 38.

(5) Ὀλυμπιόδωρ. ὑπόμν. εἰς τὸν Ἐκκλ. 3.

θείς, ὁ Νεῖλος, ὁ Πρόκλος, ὁ Κασσιανός, ὁ Θεοδώρητος. Ὁ δὲ Ἡσύχιος καὶ πολλοὶ ἄλλοι ἐγένοντο ἀκροαταὶ τῶν διδασκαλιῶν Γρηγορίου τοῦ Θεολόγου.

Οἱ τοῦ Χρυσοστόμου μαθηταὶ διαπρέπουσιν ἐπὶ τῇ περὶ τῆς οὐσίας τοῦ Χριστιανισμοῦ ὑψηλῇ αὐτοῦ ἐννοίᾳ καὶ τῇ ἀκριβεῖ τῶν Γραφῶν γνώσει. Εἰσὶ δὲ καὶ οἱ ἄριστοι τῶν ἰατρῶν τῶν τοῦ χρόνου αὐτῶν πνευματικῶν νόσων. Αὐγουστῖνος δὲ ὁ Ἱππῶνος καὶ Κύριλλος ὁ Ἀλεξανδρείας εἰσὶν ὅμοιοι κατὰ τὴν τύχην αὐτῶν. Ἡ ἐπί τε τοῦ ἑαυτῶν καὶ τῶν μετὰ ταῦτα χρόνων ἐπιρροὴ ἀμφοτέρων ἦν μεγίστη. Μέγα κλέος περιέβαλεν ἀμφοτέρους καὶ ζῶντας καὶ θανόντας. Ἀλλ' ἀμφότεροι τὸ μὲν οὐκ ἐνοήθησαν δεόντως, τὸ δὲ καὶ αὐτοὶ οὐκ ἀκριβῶς ἐξετίθεσαν τὰς ἑαυτῶν ἰδέας καὶ παρεῖχον πρὸς ἔριδας ἀφορμάς. Οἱ τοῦ Χρυσοστόμου μαθηταὶ οὐκ ἐκτήσαντο μὲν τηλικαύτην αἴγλην, ἀλλὰ τὸ φῶς αὐτῶν ἐζωοποίει καὶ ζωοποιεῖ ἅπαντας. Ἐπὶ δὲ τούτοις ὑψηλότεροι τῶν ἄλλων οὐ μόνον διδασκάλων, ἀλλὰ καὶ τινων πατέρων τοῦ χρόνου τούτου εἰσὶν Ἰσαὰκ ὁ Σύρος, Ἰωάννης ὁ τῆς Κλίμακος, Λέων ὁ Πάπας, ὁ Ἀββᾶς Βαρσανούφιος, καὶ Γρηγόριος ὁ Διάλογος. Ἕνεκα τῆς κατὰ τὸν ἕκτον αἰῶνα παρακμῆς τῆς ἐκπαιδεύσεως ὁ ἀριθμὸς τῶν διδασκάλων (1) καὶ τῶν Πατέρων ἐν τῷ αἰῶνι τούτῳ ἐστὶ δὶς ἐλάσσων,

(1) Γνωστοὶ διδάσκαλοι τοῦ ε' καὶ ς' αἰῶνος:

α'.] Σουλπίκιος ὁ Σεβῆρος († 420), Γάλλος τὸ γένος, συνέγραψεν ἱερὰν ἱστορίαν (ἀπὸ Κ. Κ. μέχρι τοῦ 400 μ. Χ.), βίον Μαρτίνου, διαλόγους περὶ Ἀνατολῆς καὶ ἐπιστολάς.

β'.] Νόννος, τὸ γένος Αἰγύπτιος, ἐξ ἐθνικοῦ χριστιανὸς († 410) Ἔγραψεν ἑλληνιστὶ πολλὰ πονήματα, ἐξ ὧν σώζονται α'] παράφρασις εἰς τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου, β'] συλλογὴ καὶ ἔκθεσις ἱστοριῶν, γ'] Διονυσιακῶν βιβλία 48, γραφέντα ὑπ' αὐτοῦ, ἐθνικοῦ ἔτι ὄντος.

γ'.] Εὐσέβιος, μοναχὸς ἐκ Σεβαστείας, συνέγρ. τὰ πάθη τοῦ ἁγ. Εὐσταθίου, καὶ τὸν βίον τοῦ πρεσβυτέρου Φιλίππου, ἀκμάσαντος ἐπὶ τοῦ Ἀρκαδίου.

δ'.] Παλλάδιος, τῷ 401 ἐπ. Ἑλενουπόλεως. Συνέγραψε α'] τὸ Λαυσαϊκόν, β'] βίον τοῦ Χρυσοστόμου, γ'] περὶ τῶν τῆς Ἰνδίας ἐθνῶν καὶ τῶν Βραχμάνων.

ἢ ἐν τῷ πέμπτῳ. Ἡ αὐτὴ σχεδὸν καὶ ἡ ἐσωτερικὴ δύναμις τούτων καὶ ἐκείνων.

ε'.] Συνέσιος ὁ φιλόσοφος, ἐπ. Κυρήνης, μιᾶς τῆς ἐν Λιβύῃ Πενταπόλεως († 410). Τὰ συγγράμματα αὐτοῦ ἐξεδόθησαν λατ. ἐν Βασιλ. τῷ 1560. ἑλλην. καὶ λατιν. ἐν Παρισίοις τῷ 1612 ὑπὸ Πεταβίου, αὐτόθ. μετὰ σημειώσ. τῷ 1633.

ς'.] Φίλιππος, τὸ γένος Παμφίλιος, τὴν πατρίδα Σιδίτης, διάκονος ἐπὶ τοῦ Χρυσοστόμου ἐκλεγεὶς ἐν τοῖς Πατριαρχείοις συγγρ. ἐκκλ. ἱστ. († 430) (Βλ. Φώτ. ἀνάγν. 35).

ζ'.] Βιογράφοι. 1) Βίος τοῦ ὁσ. Μαρτινιανοῦ († 407) συγγραφεὶς ὑπὸ προσωπικῶς γινώσκοντος αὐτόν· 2) βίος τῆς ὁσίας Μελάνης († 395) συγγραφεὶς ὑπὸ συγχρόνου (Fabr. 9. 123) · 3) βίος Ἰωάννου τοῦ Καλυβίτου—περιγραφὴ συγχρόνου (Act. SS. ad. 15. Jan.)· 4) βίος τοῦ ὁσίου Ἀλεξάνδρου, συγγραφεὶς ὑπὸ μαθητοῦ αὐτοῦ (Act. SS. ad 15. Jan.)· 5] βίος τοῦ ὁσίου Εὐσεβίου, συγγραφεὶς ὑπὸ συγχρόνου. (Act. SS. ad 24. Jan.).

η'.] Μάρκος, διάκονος Γάζης († 430)· συνέγραψε τὸν βίον τοῦ ἀρχηγοῦ αὐτοῦ ἁγίου Πορφυρίου ἐπ. Γάζης (Act. SS. ad 26. Febr.).

θ'.] Ποσσίδιος ἢ Ποσσιδόνιος, τὸ ἔθνος Ἄφρος, τοῦ ἁγ. Αὐγουστίνου μαθητὴς καὶ οἰκεῖος, Καλάμης, πόλεως παρὰ τὴν Ἱππῶνα κειμένης, ἐπίσκοπος († 430). συνέγραψε βίον τοῦ ἁγίου Αὐγουστίνου καὶ σύντομον πίνακα τῶν συγγραμμάτων αὐτοῦ.

ι'.] Παυλῖνος, πρεσβύτερος Μεδιολάνων († 440)· συνέγραψε τὸν βίον τοῦ ἁγίου Ἀμβροσίου.

ιά.] Σεδούλιος, τὸ ἔθνος Σκῶτος, Χριστιανὸς ποιητὴς († 434), περιγράψας διὰ στίχων τὰ εὐαγγελικὰ θαύματα.

ιβ'.] Εὐθάλιος (τῷ 396), Ἀλεξανδρείας διάκονος, συνέγραψεν ὑπομνήματα εἰς τὸ Εὐαγγέλιον τοῦ Λουκᾶ καὶ εἰς τὰς Πράξεις τῶν Ἀποστόλων· πρόλογον περὶ τοῦ βίου τοῦ Θ. Παύλου μετὰ εἰσαγωγικῆς ἐπιστολῆς, ἣ εὕρηται ἐν τοῖς ὑπομνήμασι τοῦ Οἰκουμενίου.

ιγ'.] Θεόδοτος Ἀγκύρας ἐπίσ. (τῷ 430). Ἐκ τῶν πολλῶν αὐτοῦ λόγων τρεῖς ἐξεδόθησαν in Labb. Coll. Concif. T. 3. εἷς in Combefic. auct. Paris. 1618. Ἡ ἔκθεσις τῆς πίστεως ap. Galland. T. IX. Περὶ τῶν ἄλλων βλ. Fabr. B. bl. IX. († 440).

ιδ'.] Σωκράτης καὶ Σωζόμενος ἐκκλησ. ἱστορικοί. († 450).

ιε'.] Εὐσέβιος ἐπ. Ἀλεξανδρ. Οἱ Λόγοι αὐτοῦ ἐξεδόθησαν ὑπὸ Ἀγγέλου Μαΐου in spicileg. Romano, T. IX.

ις'.] Βικέντιος ὁ ἐκ Λιρίνου (Vincentius Lirinensis), († 452),

Οἱ Πατέρες τοῦ ε´ καὶ ς´ αἰῶνος κατά τε τὸν χρόνον αὐτῶν καὶ τὴν πνευματικὴν συγγένειαν δύνανται διερευνηθῆναι ἐν τῇ ἑξῆς τά-

---

μοναχός. Τὰ συγγράμμ. αὐτοῦ adv. haeret. Commonit. ἐξεδ. ἐν Ῥώμῃ τῷ 1731. Ἐν Βιέννῃ τῷ 1809. Τὸ σύγγραμμα τοῦτό ἐστιν ἀξιόλογον.

ιζ´.] Πρόσπερος ὁ Ἀκυτανίας († 455), ἔνθερμος ὑπερασπιστὴς τοῦ ἁγ. Αὐγουστίνου (Chronicon, Carmen, epigrammata scriptator Augustino, Paris. 1711. Rom. 1732).

ιη´.] Ἀντίπατρος, Βόστρων. ἐπ. ἤκμασε περὶ τὸ 460. Ἔγραψεν ἀντίρρησιν ἢ ἀνασκευὴν τῆς ὑπὲρ τοῦ Ὠριγένους ἀπολογίας Εὐσ. τοῦ Καισ. (Αἱ ὁμιλίαι αὐτοῦ καὶ ἡ ἀντίρρησις παρὰ Φαβρ. Bibl. gr. IX. 275).

ιθ´.] Βασίλειος τῆς ἐν Ἰσαυρίᾳ Σελευκείας ἐπ. (τῷ 448), συνέγραψε λόγους 43 εἰς τὴν Π. καὶ 26 εἰς τὴν Κ. Δ., ἀπόδειξιν κατὰ τῶν Ἰουδαίων, περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ, περὶ τοῦ βίου καὶ τῶν θαυμάτων τῆς ἁγίας Θέκλης τῆς Παρθένου καὶ μάρτυρος, ἐγκώμιον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου, Λόγ. εἰς τὴν ἁγ. Θεοτόκον καὶ εἰς τὴν ἐνσάρκωσιν τοῦ Κυρίου.

κ´.] Πέτρος ὁ Χρυσολόγος, Ῥαβένης ἐπίσκοπος († 458), συνέγραψεν 176 ὁμιλίας, καὶ ἐπιστολὴν πρὸς τὸν αἱρετικὸν ἀρχιμανδρίτην Εὐτυχῆ.

κα´.] Μάριος Μερκάτωρ (τῷ 418), συγγράψας κατὰ τῶν Πελαγιανῶν καὶ τοῦ Νεστορίου.

κβ´.] Ἰσαάκ, τὸ γένος Σύρος, πρεσβύτερος τῆς Ἐκκλησίας τῆς Ἀντιοχείας, ἤκμασε τῷ 440. Συνέγραψε πολλὰ συριαστὶ κατ' ἐξοχὴν κατὰ τῶν Νεστοριανῶν καὶ τῶν Πελαγιανῶν, ὧν μνείαν ποιεῖται καὶ ὁ Γεννάδιος (de script. c. 66), ἀλλὰ πολλὰ ἐξ αὐτῶν ἠφανίσθησαν ὑπὸ τῶν Ἰακωβιτῶν. 60 λόγοι αὐτοῦ, λίαν ἀξιόλογοι, ἀντιγραφέντες ὑπὸ τοῦ Ἀβραμίου τῷ 1210 εἰσὶν ἔτι ἀκέραιοι, ἀλλ' οὐκ ἐξεδόθησαν (Assem. Bibl. Or. S. 48-57, 135).

κγ´.] Χρύσιππος, πρεσβύτερος Ἱεροσολυμίτης, ἀπὸ τοῦ 455 Οἰκονόμος τῆς Λαύρας τοῦ ὁσίου Εὐθυμίου καὶ ἔπειτα τοῦ ναοῦ τῆς ἁγίας Ἀναστάσεως προεστώς. Συνέγραψεν ἐγκώμιον εἰς τὸν ἅγ. Ἰωάννην τὸν Πρόδρομον καὶ Βαπτιστὴν καὶ λόγον εἰς τὸν ἅγιον Ἀρχιστράτηγον Μιχαήλ.

κδ´.] Βιογράφοι: ἄγνωστος συγγραφεὺς τοῦ βίου τοῦ θείου Δανιὴλ τοῦ Στυλίτου (τῷ 450). Lambec. com. 8. 660.-Ἰάκωβος, διάκονος τῆς Ἡλιουπόλεως περὶ τῆς ὁσίας Πελαγίας, ἐπιστραφείσης ὑπὸ τοῦ διδασκάλου αὐτοῦ Νόννου. Ἀντώνιος, μοναχός, συνέγραψεν ἑλληνι-

ξει: Μαρουθᾶς, Πολυχρόνιος, Ἰωάννης ὁ Κολωβός, Ἀρσένιος ὁ μ., Αὐγουστῖνος, Παυλῖνος, Κασσιανός,

στὶ τὸν βίον τοῦ διδασκάλου αὐτοῦ ὁσίου Συμεῶνος τοῦ Στυλίτου († 460)· ὁ δὲ Κοσμᾶς, ἕτερος μαθητὴς τοῦ ὁσίου, συνέγραψε συριαστὶ (Act. SS. ad 5. Jan. Act. Mart. S. ed. ab Evodio Assemani Romæ, 1748. T. II. p. 227, 268-398).

κε΄.] Κ. Σόλιος Ἀπολλινάρις Σιδόνιος, τὸ γένος Γάλλος, ἐπίσκ. († 470) Ἀρουέρνων, συνέγρ. ψεν epistolarum lib. IX. carmina XXIV.

κϛ΄.] Γεώργιος ὁ Χοιροβοσκός, διάκονος καὶ χαρτοφύλαξ, διαπρεπὴς φιλόλογος, γνωστὸς ἤδη Στεφάνῳ τῷ γραμματικῷ (οἱ ἐπιμερισμοὶ αὐτοῦ εἰς τοὺς ψαλμοὺς ed a Gaisford Oxon. 1842. τὰ ὑπομνήματα εἰς τοὺς καν. τοῦ Θεοδοσίου. Oxon. 1842).

κζ΄.] Ἀδριανός, μοναχός, γνωστὸς τῷ Κασσιοδώρῳ (isag. S. Scriptur. gr. lat. ed. Höschel, 1602).

κη΄.] Βιογράφοι: μαθητὴς καὶ ἡγούμενος συγγράψας τὸν βίον τοῦ ὁσ. Αὐξεντίου († 470). (Act. SS. 14. Febr.), τὸν βίον τῆς ὁσ. Εὐφροσύνης τῷ 470 (Act. SS.) γραφέντα εὐθὺς μετὰ τὴν τελευτὴν αὐτῆς.

κθ΄.] Μωϋσῆς ὁ ἐκ Χωρηνῆς, μαθητὴς τοῦ μεγάλου Ἰσαὰκ († 487), ἀρμένιος ἱστορικὸς (Histor. ed arm. et lat. a Whistomo, Lond. 1736, ἀλλ᾽ ἐξ ἀπογράφου οὐκ ἐπιδιωρθωμένου, a Zohrab, Venet. 1805)· ὁ σύγχρονος αὐτῷ ἐπίσκοπ. Ἐγισσέ, περιέγραψε μετ᾽ εὐφραδείας τὴν πάλην τῶν Ἀρμενίων πρὸς τοὺς Πέρσας ὑπὲρ τῆς ἁγίας πίστεως 439—463. (ed armen. Constantin. 1761).

λ΄.] Βιγίλιος, Ἄφρος τὸ γένος, ἐπ. Θάψου, πόλεως τῆς Βυζακηνῆς ἐπαρχίας (τῷ 484), συνέγραψε πολλὰ κατὰ Νεστορίου, καὶ Εὐτυχοῦς, καὶ Ἀρείου, καὶ ἄλλα λατινιστί (ed Divione, 1664).

λά.] Γελάσιος, τὸ γένος Ἄφρος, Πάπας Ῥώμης († 496), συνέγραψε epistol. XVI. ep. alias. X. Fragm. adv. Andromachum senat. caeterosque Romanos.—dicta adv. Pelagianam hær.—Decretum in concil. roman. LXX. Exemplar gestor. de absolut. Miseni episc.—Liper contra Eutychem et Nestorium de duabus in Christo naturis.—Codex secrem. (Venet. 1736).

λϐ΄.] Γεννάδιος, τὸ γένος Γάλλος, πρεσβύτερος Μασσαλίας (τῷ 495), συγγράμματα αὐτοῦ: de Scriptor. eccles. sive viror. illustr. catalogus.—de fide, seu de dogmat. ecclesiast. lib. ad Gelasium Papam missus.— Vita S. Hieronymi.

λγ΄.] Τὸ πάθος τοῦ μ. Ἀρέθου († 522), συγγραφὲν ὑπὸ σγχρόνου

Ἡσύχιος, Μάρκος, Ἰσίδωρος, Νεῖλος, ὁ μακάρ. Ἰσαάκ, Πρόκλος, Κύριλλος ὁ Ἀλεξανδρ., Ἀκάκιος, Θεοδώρητος, Λέων, Φουλγέντιος, Βενέδικτος, Διάδοχος,

(Assem. B. Or. I. 358.)· ἕτερος σύγχρονος τῷ αὐτοκρ. Ἰουστίνῳ († 527), συγγράψας τὸ πάθος τοῦ μ. Αὐτονόμου († 309.) (Act SS. ad 12. Sept) Θεόδωρος, ἐπίσκοπ. Πέτρας σύγχρονος βιογράφ. τοῦ ὁσίου Θεοδοσίου († 529).

λδ'.] Διονύσιος ὁ μικρός, τὸ γένος Σκύθης, μοναχὸς καὶ ἀββᾶς ρωμαῖος (τῷ 533). συγγράμ. Collectio, sive codex canonum ecclesiasticor.—collect. decretor. Pontif. Roman. a Siricio ad Anast. II. ep. Synodica S. Cyrilli et conc. Alexandr. advers. Nestorium, lat. versa. cyclus paschal. annorum XCVII.

λε'.] Προκόπιος ὁ Γαζαῖος (τῷ 520), συνέγραψεν ὑπομνήματα εἰς τὴν Ὀκτάτευχον, εἰς Ἡσαΐαν, εἰς τὰ τέσσαρα βιβλ. τῶν Βασιλ. καὶ τῶν Παραλειπομ., εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων, εἰς τὰς Παροιμίας (Maii class. auct. Romæ, 1833).

λς'.] Καισάριος, τὸ γέν· Γάλλος ἐπίσκ. Ἀρελάτης, συγγράμ. Dialogi, Sermones, Regula, in Galland. Bibl. T. VI. et XI.

λζ'.] Εὐτυχιανός, τῆς ἐν Κιλικίᾳ πόλεως Ἀδάνων κληρικός, ἤκμασεν ἐπὶ τοῦ αὐτοκρ. Ἰουστινιανοῦ (τῷ 538), ἔγραψεν ἱστορίαν τῆς μετανοίας τοῦ ἁγ. Θεοφίλου, οὗ ἐν τῷ οἴκῳ ἐγεννήθη καὶ ἀνετράφη, καὶ οὗ τῇ προτροπῇ ἔγραψεν, ἃ εἶδε καὶ ἤκουσεν ἐκ τοῦ στόματος αὐτοῦ (Act. SS. ad 4. Febr.)

λη'.] Κοσμᾶς μοναχός, ὁ Ἰνδικοπλεύστης (τῷ 547), συνέγραψεν ἐξήγησιν ἱστορικὴν καὶ ἀναγωγικὴν εἰς τοὺς Ψαλμούς, χριστιανικὴν τοπογραφίαν, πρόλ. εἰς τὸ κατὰ Λουκ. Εὐαγγέλιον.

λθ'.] Ζαχαρίας, ἐπ. Μιτυλήνης (τῷ 536), συνέγραψε Διάλογον περὶ Δημιουργ. τοῦ κόσμου κατὰ τῶν φιλοσόφων, καὶ περὶ τῶν δύο ἀρχῶν κατὰ Μανιχαίων.

μ'.] Κύριλλος ὁ Σκυθοπολίτης (τῷ 550), βιογράφος τῶν ἁγ. Εὐθυμίου, Θεοδοσίου, Σάββα, Κυριακοῦ, Ἰωάννου, Θεογνίου (Act. SS. ad 20 Jan. 13. Mart. in Cotelo monum. T. III. Paris. 1688. in anal gr. Paris. 1692).

μα'.] Λιβεράτος, ἀρχιδιάκονος τῆς Ἐκκλησίας τῆς Καρχηδόνος (τῷ 553), συνέγραψε Breviar. causæ Nest. et Eutych. ed. a Garn. Par. 1675.

μβ'.] Μάγνος Αὐρήλιος Κασσιόδωρος, ἐπὶ τοῦ Θεοδωρίκου πατρίκιος, ἢ γερουσιαστής, εἶτα δὲ διάσημος μοναχός (τῷ 514). Συν-

Ἀνατόλιος, Γεννάδιος, Ρωμανός, Εὐφραίμιος, Βαρσανούφιος, Ἰωάννης ὁ τῆς Κλίμακος, Ἰσαὰκ ὁ Σύρος, Ἰωάννης ὁ Νηστευτής, Γρηγόριος ὁ Διάλογος καὶ Εὐλόγιος.

ἔγραψεν εἰσαγωγὴν (institutionem) εἰς τὰς Θείας Ἀναγνώσεις (τῆς Γραφῆς) ἐν βιβλίοις δύο, ἔκθεσιν ἢ ὑπόμνημα εἰς τοὺς Ψαλμοὺς τοῦ Δαυΐδ, καὶ ἐπιστολῶν βιβλία 12.

μγ΄.] Ἀρέθας τῆς ἐν Καππαδοκίᾳ Καισαρείας Ἀρχιεπ. (περὶ τὸ 540) συνέγραψεν ἑρμην. εἰς τὴν θείαν Ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου, καὶ Πνευματικὴν Θεραπευτικήν.

μδ΄.] Παλλάδιος Ἀλεξανδρ. σχολαστικὸς ἐπὶ τοῦ ἁγ. Γρηγεντίου ἀρχιεπισκόπου Τεφρῶν ἢ Ταφρῶν (τῷ 522), μετέφρασεν εἰς τὴν ἑλληνικὴν γλῶσσαν τὴν Διάλεξιν τοῦ ἁγ. Γρηγεντίου μετὰ Ἰουδαίου Ἑρβὰν τοὔνομα, τὸν βίον τοῦ ἁγίου Γρηγεντίου συγγραφέντα ὑπὸ τοῦ ἐπ. Νεγράνου, καὶ τοὺς νόμους τοὺς δοθέντας τοῖς Ὁμηρίταις ὑπὸ τοῦ ἁγίου Γρηγεντίου καὶ τοῦ ἡγεμόνος Ἀβραμίου.

με΄.] Ἰωάννης, τὴν πατρίδα Καππαδόκης, Πατριάρχης Κωνστ)λεως (τῷ 517), ἔγραψεν ἐπιστολὴν πρὸς Ἰωάννην τὸν Πατριάρ. Ἱεροσολύμων καὶ τὴν περὶ αὐτὸν ἐνδημοῦσαν σύνοδον (Βλ. Συν. Συλλ. Τ. 2. σελ. 306).

μϛ΄.] Δανιήλ, μοναχὸς τῆς Ραϊθοῦς, ἐπὶ τοῦ ἡγουμένου Ἰωάννου, δι' ὃν ἐγράφη ἡ Κλίμαξ. Ἔγραψε τὸν βίον Ἰωάννου τοῦ τῆς Κλίμακος. Θεόδωρος ἐπ. Ἰκονίου, ἔγραψεν ἐπιστολ. μετὰ τῆς περιγραφῆς τοῦ μαρτυρίου τοῦ ἁγίου Κηρύκου καὶ τῆς ἁγ. Ἰουλίττης εἰς ἀνασκευὴν ψευδοῦς διηγήσεως. Ὁ βίος τῆς ὁσ. Ἀναστασίας ἐγράφη οὐ πολλοῦ χρόνου παρῳχηκότος μετὰ τὸν θάνατον αὐτῆς πρὸ τῆς ἐν Αἰγύπτῳ ἀποκαταστάσεως τῶν Σαρακηνῶν.

μζ΄.] Μαρτῖνος ἐκ Πανονίας, ἱδρυτὴς τῆς μονῆς Δουμίου (Dumium) καὶ ἀρχιεπισκόπου Βράγης (τῷ 560), συνέγραψε: de formula honestæ Vitæ, de moribus, pro repellenda jactantia, de Superbia, Exhortatio humilitatis, de ira, de Pascha, capitula LXXXV e graecis synodis, Sententias Aegyptiorum Patrum, de correctione rusticorum.

μη΄.] Γρηγόριος Τουρώνης ἐπίσκοπ. (τῷ 573), συνέγρ. Histor. Francor. ad an 591 καὶ miracula vitæ.

μθ΄.] Εὐστράτιος πρεσβύτ. τῆς Μ. Ἐκκλησίας τῆς Κωνσ]πόλεως (τῷ 578), συνέγραψε βίον τοῦ Π. Εὐτυχίου.



...596)
τοῦ Μάρθας ...
μαθητοῦ αὐτοῦ.

να΄.] Εὐάγριο...
κὸς (τῷ 594), Σύρος ἐξ ...
συνέγραψεν ἐκκλ. ἱστορ. ἐν βιβ...
ἓξ (ἀπὸ τοῦ 431—594).

(1) Τάγρης ἄλλως Μαϊφερκίν, Μεθινατ-Σοβδέ, Μαϊφεράκτα, ἢ ἑλληνιστὶ Μαρτυρούπολις. «Αὕτη δὲ, λέγει ὁ Προκόπιος, κεῖται μὲν ἐν τῇ Σοφανηνῇ καλουμένῃ χώρᾳ, πόλεως Ἀμίδης, τεσσαράκοντα καὶ διακοσίους σταδίους διέχουσα πρὸς βορρᾶν ἄνεμον». (Περὶ τοῦ Περσικοῦ πολέμου βιβλ. δ΄). Ὁ Φώτιος (ἀνάγν. 52.) καλεῖ τὸν Μαρουθᾶν ἐκ τοῦ ὀνόματος τῆς ἐπαρχίας ἐπίσκοπον τοῦ Σουφαρηνῶν ἔθνους. Ἡ πόλις αὕτη ἀνῆκε

κα...
468.

(3) ...
δου ταύτης ...
βιανός, Π. Ἀν...
εγένοντο τρεῖς ἐπίσ...
κοντα ἱερεῖς καὶ διάκον...
Σίδῃ, μητροπόλει τῆς Παμ...
συνεκροτήθη κατὰ τὸ αὐτὸ ἔτος κα...
τῶν αἱρετικῶν τούτων σύνοδος, ἧ
παρεγένοντο εἰκοσιπέντε ἐπίσκοποι,
καὶ ἧς προήδρευεν ὁ ἅγιος Ἀμφιλόχιος, Ἰκονίου ἐπίσκοπος. Σ. Μ.].

(ἱστορ. διδασκ.)



Ισδιγέρδης,
ο, ἦγε διὰ τι-
ῳ. Τὸ πρὸς τὸν
Περσίας ἐτάρασσε τοὺς
γενέσθαι Χριστιανόν. Θερα-
αλγίαν αὐτοῦ χρονίαν, οὗτοι
οντος ποτὲ τοῦ Ἰσδιγέρδου εἰς ναόν
ως εἰώθει, τὸ διηνεκῶς καιόμενον πῦρ,
βάλλεσθαι δεῖ τὸν βασιλέα, ἠσέ-
ν χριστιανῶν ἱερέα νομίζων θεο-
ς ὁ Ἰσδιγέρδης, ἔγνω ἀποπέμψαι τὸν Μαρουθᾶν·
ειξεν αὐτῷ τὸ μέσον τοῦ ἀνακαλύψαι τὸν δόλον. Τού-
μένου, καταληφθεὶς ὑπ' ἄκρας ὀργῆς ὁ βασιλεὺς τοὺς μὲν
γους ἐκόλασεν αὐστηρῶς, τῷ δὲ Μαρουθᾷ ἐπέτρεψε κτίζειν ἐκ-
κλησίας, ἔνθα ἂν βούλοιτο. Ἐντεῦθεν ἐπλατύνετο παρὰ Πέρσαις ὁ
χριστιανισμός. Τῷ 414 ἀπεστάλη τὸ δεύτερον ὑπὸ τοῦ Αὐτοκράτο-

---

(1) Σωζόμ. ἐκκλ. ἱστ. η' 16. Σωκρ. ς' 15.
(2) Ἐπ. 14.

ρος πρὸς τὸν Ἰσδιγέρδην πρεσβείας ἕνεκεν. Οἱ δὲ μάγοι ἐποιήσαντο αὖθις κατ' αὐτοῦ σκευωρίας, ὅπως ἂν μηδαμῶς προσδέχοιτο αὐτὸν ὁ βασιλεύς· ἀλλ' οὗτος διὰ πλείονος ἦγε τὸν ἱερὸν ἄνδρα τιμῆς. «Μικρὸν δὲ ἐδέησε, λέγει ὁ Σωκράτης, καὶ χριστιανίσαι αὐτόν, πεῖραν δεδωκότος ἑτέραν τοῦ Μαρουθᾶ σὺν Ἀβδᾷ τῷ ἐπισκόπῳ Περσίδος. Ἄμφω γὰρ τὸν ὀχλοῦντα δαίμονα τῷ υἱῷ βασιλέως ἀπήλασαν, νηστείαις καὶ προσευχαῖς σχολάσαντες» (1). Ἐκ τούτου ἐπέτρεψεν ὁ Ἰσδιγέρδης ἐλευθέρως ὁμολογεῖν τὴν χριστιανικὴν πίστιν ἐν Περσίᾳ (2). Ὁ ἅγιος Μαρουθᾶς ἐπωφελούμενος τὴν εὔνοιαν καὶ τὴν ἐπιείκειαν τοῦ βασιλέως, ἐσπούδαζεν ἀνεγεῖραι τοὺς ἐπὶ τοῦ διωγμοῦ τοῦ Σαπώρου κατεδαφισθέντας ναοὺς καὶ ἀποκαταστῆσαι τὴν ἐκκλησιαστικὴν πειθαρχίαν. Ἐντεῦθεν συνεκάλεσε (τῷ 414) εἰς Κτησιφῶντα σύνοδον, περὶ ἧς λέγει ὁ Π. Διονύσιος: «Κατὰ τὸ ἔτος (τῶν Ἑλλήνων) 725 ἔλαμψεν ὁ ἅγιος Μαρουθᾶς ἐπίσκοπος Μαϊφεράκτης. Οὗτος ὑπὸ τοῦ Αὐτοκράτορος Θεοδοσίου πρὸς Ἰσδιγέρδην τὸν Περσῶν βασιλέα πεμφθείς, διήλλαξεν ἀμφοτέρους. Κατὰ τὸν αὐτὸν δὲ χρόνον συνεκροτήθη ἐν Περσίᾳ σύνοδος, ἡ ἐπεκύρωσε τὰς ἀποφάσεις τῆς ἐν Νικαίᾳ συνόδου. Παρεγένοντο ἐν τῇ συνόδῳ ταύτῃ Μαρουθᾶς ὁ Μαϊφεράκτης καὶ Ἰαβαλλάχας ὁ καθολικὸς τῆς Κτησιφῶντος. Ἐγένετο δ' ἐν αὐτῇ τῇ πόλει Κτησιφῶντι» (3). Ὁ πλήρης ἐνθέου ζήλου ἀνὴρ συνέλεξε τὰ λείψανα τῶν ἐπὶ τοῦ Σαπώρου μαρτυρησάντων, καὶ μετεκόμισεν αὐτὰ εἰς Τάγρητα (4), ἔνθα καὶ αὐτὸς ἀνεπαύθη ἐν εἰρήνῃ περὶ τὸ 442ον ἔτος (5).

---

(1) Ἐκκλ. ἱστορ. ζ'. 8. πρβ. καὶ Διονύσ. Πατρ. ἐν χρονικῷ.

(2) Ἄμρος ἐν β. Καϊουμᾶ. Assem. B. Or. T. 3. P. I. p. 73.

(3) Χρον. παρ' Ἀσσεμάνῳ Bibl. Or. T. I. p. 176. [Τὸ χωρίον τοῦτο τοῦ Διονυσίου παραγαγὼν ὁ Ἀσσεμάνος, ἐπάγει τάδε: « haec tamen de secunda synodo intellige, alteram enim synodum Maruthas in prima sua legatione ibidem celebraverat sub Isaaco Seleuciæ et Ctesiphontis episcopo, cujus meminit Renaudotius tom. II. Liturg. Or. p. 272. Σ. Μ.].

(4) Ἄμρος ἐν β. Καϊουμᾶ, Assem. B. Or. T. 3. P. I. p. 73.

(5) Ὅτε ἤρξαντο αἱ ἐπὶ τὴν Μεσοποταμίαν καταστρεπτικαὶ ἐπιδρομαὶ τῶν Περσῶν καὶ Ἀράβων, τὰ λείψανα τοῦ ἁγίου Μαρουθᾶ μετεκομίσθησαν εἰς Αἴγυπτον καὶ ἐτέθησαν ἐν τῇ

§. 193. Συγγράμματα αὐτοῦ.

Μαρουθᾶς «ὁ περίφημος ἰατρὸς καὶ ἔξοχος διδάσκαλος τῆς Ἐκκλησίας», συνέγραψεν ἐν τῇ συριακῇ γλώσσῃ πολλὰ συγγράμματα, ὧν ἔνια μόνον ἄχρι τοῦ νῦν ἐξεδόθησαν. Κατ' ἐξοχὴν δὲ θαυμάσιά εἰσι: α΄] τὰ οὔπω ἐκδοθέντα ὑπομνήματα αὐτοῦ εἰς τὸ Εὐαγγέλιον. Ὁ Ἀσσεμάνος προσάγει τὴν ἑπομένην αὐτοῦ ἑρμηνείαν εἰς τοὺς λόγους τοῦ Σωτῆρος περὶ τῆς Εὐχαριστίας. «Τοῦτο, λέγει, ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ἀναγκαῖον καὶ λίαν προσῆκον ἦν, ἵνα οὕτω διαταχθῇ. Εἰ γὰρ οὐ παρεδίδετο ἡ ἀδιάλειπτος κοινωνία τῶν μυστηρίων, πόθεν ἂν ἠδύναντο οἱ ἐπιγιγνόμενοι μαθεῖν τὴν ὑπὸ τοῦ Χριστοῦ τελεσθεῖσαν σωτηρίαν; ἢ τίς ἠδύνατο ἂν πεῖσαι αὐτοὺς καὶ πρὸς τὴν γνῶσιν τηλικούτου μυστηρίου ἀγγελεῖν; Τοῦτο γὰρ καὶ νῦν πολλοῖς δυσχερέστατον ἦν πιστευθῆναι. Ἐπὶ δὲ τούτοις οἱ τῶν ἐπιόντων χρόνων πιστοὶ οὐκ ἂν ἠδύναντο γενέσθαι κοινωνοὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. Νῦν δ' ὁσάκις ἂν προσερχώμεθα τῷ σώματι καὶ τῷ αἵματι καὶ δεχώμεθα αὐτὰ ἐπὶ τῶν χειρῶν ἡμῶν, πιστεύομεν, ὅτι δεχόμεθα τὸ σῶμα καὶ γιγνόμεθα σὰρξ ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ὀστοῦν ἐκ τῶν ὀστῶν αὐτοῦ, ὡς γέγραπται. Οὐ γὰρ ἐκάλεσεν αὐτὸ ὁ Χριστὸς τύπον καὶ εἶδος, ἀλλ' εἴρηκε: «τοῦτο ἀληθῶς ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου» [α]· β΄] ἡ ἱστορία τῶν

σκήτῃ τῶν Σύρων, μονῇ τῆς Θεοτόκου. Ἐν τῇ μονῇ ταύτῃ εἶδεν ὁ Ἀσσεμάνος τὴν περιγραφὴν τοῦ βίου τοῦ ἁγίου Μαρουθᾶ καὶ πολλὰ αὐτοῦ συγγράμματα ἐν χαλδαϊκ. χειρογράφῳ, ἀλλ' ἀντ' οὐδεμιᾶς τιμῆς ἠδυνήθη λαβεῖν ἢ ἀντιγράψαι αὐτά. Ἡ μνήμη τοῦ ἁγίου Μαρουθᾶ ἑορτάζεται ἐν τῇ ἑλλην. καὶ ρωμαϊκ. Ἐκκλησίᾳ τῇ δ΄. Δεκεμβρίου, παρὰ τοῖς Κόπταις τῇ ιθ΄. Φεβρουαρίου, παρὰ τοῖς Σύροις καὶ τοῖς Μελχίταις τῇ θ΄. Φεβρουαρίου. Ἐν τῇ ἑλληνικῇ Ἐκκλησίᾳ τελεῖται καὶ τῇ ις΄. Φεβρουαρίου, ὅτε ἑορτάζεται ἡ ἀνακομιδὴ τῶν λειψάνων τῶν ἐν Μαρτυρουπόλει περσῶν μαρτύρων. Assem. B. Or. T. I. p. 171. Mathaei not. cod. bibl. syn. Mosquæ, de cod. 184. p. 120.

[α] Ἡ ἐκ τῆς συρ. γλώσσης εἰς τὴν λατιν. ὑπὸ τοῦ Ἀσσεμάνου γενομένη μετάφρασις τοῦ χωρίου τούτου ἔχει ὧδε: Hoc, inquit, facite semper in meam commemorationem. Necessarium erat et valde consentaneum ut istud fieret? nam si per-

ἐν Περσίᾳ παθόντων μαρτύρων [1]. Τὸ σύγγραμμα τοῦτο διαπρέπει ἐπὶ λέξει ζωηρᾷ, γλώσσῃ καρδίας εὐσεβοῦς, καὶ σύναμα ἱστορικῇ ἀκριβείᾳ. Ἐπέρανε δ' αὐτὸ ὁ θεῖος ἀνὴρ κατὰ τὸν εἰρηνικὸν χρόνον τῆς τοῦ Ἰσδεγέρδου βασιλείας. Ἐν αὐτῷ περιέχονται πολλαὶ ἱστορικαὶ εἰδήσεις τῶν ἐκκλησιῶν Μεσοποταμίας, Περσίας καὶ Ἑλλάδος ἀπὸ τοῦ 330—370, καὶ πολλὰ περὶ τῆς ἐσωτερικῆς εὐταξίας τῆς Ἐκκλησίας, τῆς ἱεραρχίας αὐτῆς, τῶν ἱεροπραξιῶν, καὶ τῶν εὐσεβῶν ἐθίμων· γ'] αἱ ᾠ δ α ὶ αὐτοῦ εἰς τιμὴν τῶν μαρτύρων, ᾀδόμεναι ἄχρι τοῦ νῦν παρὰ τοῖς Μαρωνίταις, τοῖς Ἰακωβίταις καὶ τοῖς Νεστοριανοῖς. Δυσχερὲς δὲ διακρῖναι αὐτὰς τῶν στίχων ἄλλων ποιητῶν, διότι ἀπόγραφον περιέχον αὐτὰς μόνον οὐ διεσώθη ἄχρι τοῦ νῦν [2]· δ'] ἡ λ ε ι τ ο υ ρ γ ί α αὐτοῦ, ἥτις κατεχωρίσθη ἐν τῷ συριακῷ λειτουργικῷ [3]· ε'] οἱ 26 κ α ν ό ν ε ς τῆς ἐν Κτησιφῶντι συνόδου [4], καὶ οἱ 73 κ α ν ό ν ε ς

petua sacramentorum participatio haud tradita fuisset, undenam possent partam a Christo salutem agnovisse? Aut quis eis persuadere, eosve ad tanti mysterii cognitionem adducere potuisset? Hoc etenim frequenter, et compluribus creditu difficillimum. Praeterea caeteri subsequentium temporum fideles a communione corporis et sanquinis extorres fuissent. Verum nunc quostiecumque ad corpus et sanquinem accedimus, eaque super manos nostras accipimus, sic credimus, nos corpus amplecti, et carnem ex carne ejus, osque ex ossibus ejus fieri, sicut sriptum est; nam etiam Christus *figuram* et *speciem* haud ipsum appellavit, sed dixit: hoc vere est corpus meum et hic est sanquis meus». Σ. Μ.

(1) Τὸ σύγγραμμα τοῦτο τοῦ ἁγίου Μαρουθᾶ, πρὸ πολλοῦ γνωστὸν τοῖς Σύροις συγγραφεῦσι (Ἐβεδ-Ἰεσοῦ καὶ Μάρῳ) ἦν ἄγνωστον ἐν Εὐρώπῃ μέχρι τῆς ἀρχῆς τοῦ ιη' αἰῶνος. Κατὰ διαταγὴν τοῦ Πάπα Κλήμεντος τοῦ ΙΑ' ἠγοράσθη ὑπὸ τοῦ Εὐοδίου Ἀσσεμάνου καὶ ἐτυπώθη ἐν τῇ συροχαλδαϊκῇ γλώσσῃ μετὰ λατινικῆς μεταφράσεως.

(2) Ἐβεδ-Ἰεσοῦ ἐν τῷ καταλόγῳ τοῦ Ἀσσεμάνου. Τ. 3. p. 1. B. Orient.

(3) Ἐξεδόθη ὑπὸ Ρενωδοτίου, Lit. Or. p. 261. καὶ ὑπὸ Σχαλτιγγίου Τ. 3. p. 196.

(4) Κατὰ τὴν μαρτυρίαν τοῦ Ρενωδοτίου φυλάσσονται ἐν τῷ φλωρεν. χειρογράφῳ. (Lit. orient. p. 272). Περὶ τῶν ἄλλων ἀπογράφων βλ. W. Bieckel Gesch. d. Kirchenrechts, σ. 203. 204. Giessen, 1843.

τῆς ἐν Νικαίᾳ μετὰ περιγραφῆς τῶν πράξεων αὐτῆς, γνωστοὶ ὄντες μόνον ἐκ χειρογράφων(1).

§. 184. Πολυχρόνιος Ἀπαμείας ἐπίσκοπος·

Ἐν τῇ Συρίᾳ τῇ ὁμόρῳ τῇ Μεσοποταμίᾳ, ἐποίμαινε τὴν Ἐκκλησίαν τῆς Ἀπαμείας, καθ᾽ ὃν χρόνον ὁ Μαρουθᾶς τὴν τῆς Μαρτυρουπόλεως, ὁ Πολυχρόνιος, αὐτάδελφος νεώτερος Θεοδώρου τοῦ Μοψουεστίας, συμμαθητοῦ τοῦ Χρυσοστόμου.

Ἡ ἐξ εὐγενῶν καὶ πλουσίων γονέων καταγωγὴ αὐτοῦ, τὰ πνευματικὰ χαρίσματα καὶ ἡ πολυμάθεια ἤνοιγον αὐτῷ τὴν πρὸς τὰς τιμὰς ὁδόν· ἀλλὰ μετὰ τῶν ἄλλων παθῶν καὶ τὴν τῆς κενῆς δόξης τυραννίδα τῆς ψυχῆς ἀπελάσας, ἠσπάσατο τὸν μοναχικὸν βίον ἔν τινι τῆς Κύρου μονῇ. Θεοδώρητος, ὁ μαθητὴς αὐτοῦ, ἐξιστορεῖ τοὺς ἀγῶνας αὐτοῦ, τὴν πρὸς τὴν εὐαγγελικὴν πτωχείαν ἀγάπην, καὶ τὴν ἄκραν ταπεινοφροσύνην, δι᾽ ὧν ἐκτήσατο τὴν τοῦ θαυματουργεῖν δωρεάν(2). Ὁ ἱερὸς ἀνὴρ συνήνου τοὺς ἀσκητικοὺς πόνους τοῖς τῆς ἐξερευνήσεως τῆς διανοίας τῆς ἁγίας Γραφῆς, χρώμενος πρὸς τοῦτο ταῖς διδασκαλίαις τοῦ περικλεοῦς Διοδώρου, οὗ ἠκροάσατο καὶ ὁ Χρυσορρήμων. Περὶ τὸ 410 ἐχειροτονήθη ἐπίσκοπος. Ὁ μακάριος Θεοδώρητος (τῷ 410) ἐπέρανε τὴν ἐκκλησιαστικὴν αὐτοῦ ἱστορίαν ὧδε: «Πολυχρόνιος, τὴν Ἀπαμέων Ἐκκλησίαν ἐποίμανεν ἄριστα, καὶ τῇ τοῦ λόγου χάριτι καὶ τῇ τοῦ βίου λαμπρότητι χρώμενος»(3). Τῷ δὲ 431 ἦν ἤδη γνωστὸς ὁ ἐπὶ τοῦ θρόνου τῆς Ἀπαμείας διάδοχος τοῦ μεγάλου Πολυχρονίου (4).

Τὰ συγγράμματα τοῦ ἁγίου Πολυχρονίου συνίστανται ἐξ ὑπομνημάτων εἰς τὰ βιβλία τῆς Παλαιᾶς Διαθήκης. Ταῦτα δεικνῦσιν, ὅτι ἐχρῆτο τῷ τε συριακῷ καὶ τῷ ἑλληνικῷ κειμένῳ τῆς ἁγίας Γραφῆς, ἔσθ᾽ ὅτε δὲ καὶ τῷ ἑβραϊκῷ[α]. Ἐν τῇ ἑρμηνείᾳ τοῦ βι-

---

(1) Οἱ 73 κανόνες τῆς ἐν Νικαίᾳ Συνόδου, ἐκ τοῦ ἑλληνικοῦ μεταφρασθέντες, καὶ ἡ ἱστορία ταύτης τῆς Συνόδου δυστυχῶς οὔπω ἐξεδόθησαν.

(2) Θεοδώρ. Φιλόθ. ἱστορ. κδ΄. Νικηφ. ιδ΄. 30.

(3) Θεοδώρ. ἐκκλ. ἱστορ. ε΄. 40.

(4) Βλ. τὰς ὑπογραφὰς τῶν Πατέρων ταύτης τῆς συνόδου.

[α] Ὁ κλεινὸς Οἰκονόμος λέγει : «Ἐν δὲ τούτοις (τοῖς ὑπομνήμασι) ὁ ἀξιάγαστος Πολυχρόνιος τὴν ἑρμη-

βλίου τοῦ Ἰὼβ, εὑρίσκων κατὰ τὴν παραβολὴν τοῦ ἑλληνικοῦ κειμένου πρὸς τὸ πρωτότυπον πολλὰς δυσκολίας πρὸς ἔκθεσιν τῆς γνησίας διανοίας, προβάλλεται τὸ ἐρώτημα: Διὰ τί οὐ σαφὴς ἡ Γραφή; Καὶ ἐν τῇ ἀποκρίσει δείκνυσιν ὅτι «ἡ ἐν ταῖς θείαις Γραφαῖς ἀσάφεια πολλὰς ἔχει τὰς αἰτίας. Πρῶτον μέν, ὅτι πᾶσα γλῶσσα εἰς ἑτέραν μετατιθεμένη ἀπόλλυσι τὸν ἴδιον εἱρμόν. Δεύτερον δέ, ὅτι αἱ συνώνυμοι τῶν λέξεων παρ' Ἑβραίοις ἄγνοιαν εἰργάσαντο τοῖς ἑρμηνευταῖς . . . τρίτον, εἰσὶ λέξεις ἑβραϊκαί, αἳ παρ' Ἕλλησιν, ὡς ἔχουσι φύσεως, ἑρμηνευθῆναι οὐ δύνανται . . .» Ἔπειτα δείκνυσιν, ὅτι ἡ ἀσάφεια δύναται προέρχεσθαι ἔτι ἐκ τῆς στιγμῆς, ἐκ τῆς διαφορᾶς τοῦ τόνου, ἐκ τοῦ ἀριθμοῦ, ἐκ τοῦ γένους, καὶ ἐκ τῆς παραλείψεως τῶν μορίων (1).

Ἡ ἑρμηνεία τοῦ Πολυχρονίου εἰς τὸ βιβλίον τοῦ Προφήτου Δανιὴλ ἐστι πάνυ ὠφέλιμος, διότι πολλὰς δύναταί τις ἰδεῖν ἐν αὐτῇ εἰδήσεις περὶ τῆς Συρίας καὶ τῶν βασιλέων αὐτῆς. Εἶχεν ὑπ' ὄψει τὴν ἱστορίαν τοῦ Πορφυρίου, ᾗ ἠκολούθει καὶ ὁ ἱστορικὸς Εὐσέβιος. Ἀλλ' ὡς αὐτόχθων Σύρος, ζήσας οὐ λίαν πόρρω τοῦ χρόνου τῆς πολιτικῆς ὑπάρξεως τῆς Συρίας, εἶχε καὶ ἄλλα μέσα πρὸς ἀκριβῆ γνῶσιν τῆς γενεθλίου χώρας. Ἡ διὰ πολλοὺς λόγους πολύτιμος αὕτη ἑρ-

---

νείαν τῶν Ο' ὡς μόνην ἐκκλησιαστικὴν Γραφὴν ἐξηγῶν, μέμνηται ἐνίοτε (οἷον εἰς τὸν Ἰὼβ) καὶ τῶν λοιπῶν ἑρμηνευτῶν, πρὸς πλείονα διασάφησιν τῆς διανοίας τῶν Ο' . . .» Περὶ τῶν Ο' ἑρμην. Τ. 4. σ. 636. Σ. Μ.

(1) Ἡ ἀπόκρισις αὕτη ἐτέθη ὑπὸ τοῦ Φωτίου ἐν τῇ ἀποκρ. αὐτοῦ πρὸς τὸν Ἀμφιλόχ. ἄνευ τοῦ ὀνόματος τοῦ Πολυχρονίου. Ἀλλὰ μετὰ τοῦ ὀνόματος αὐτοῦ ἀναγινώσκεται ἐν ταῖς Σειραῖς εἰς τὸ βιβλίον τοῦ Ἰὼβ. Ἡ ἀπόκρισις ἐξεδόθη ὑπὸ τοῦ Μαΐου μετ' ἄλλων τοῦ Φωτίου ἀποκρίσεων. Vet. Auct. T. I. p. 170. 171. praef. p. 31. Αὕτη δ' ἡ ἑρμηνεία ἐξεδόθη ὑπὸ τοῦ Ἰουνίου: (Catena in Jobum, Londini 1637. Ὁ πρόλογος τοῦ Πολυχρονίου εἰς τὸ βιβλίον τοῦ Ἰὼβ ἐξεδόθη ὑπὸ Βερενδόρφου. Meditationes de resurrectione speciatim Jobi, Gottingæ, 1738. Ὁ βίος τοῦ Ἰὼβ, ὁ ὑπὸ τοῦ Πολυχρονίου συγγραφείς, καὶ ἔνιαι τῶν ἑρμηνειῶν εἰς τὸ βιβλίον αὐτοῦ in cod. Bavar. 5. et 148. Hardt in Aretins Beyträgen 1804. München. Ἡ ἑρμην. τοῦ Ἰὼβ 38, 7. ἐν ἀρχ. βιεν. χειρογρ. Lambec. com. 3, 465. Ἡ εἰσαγωγὴ εἰς τὸ βιβλ. τοῦ Ἰὼβ ἐν τῷ βενετ. χειρογρ. Fabric. Bibl. 8. 647. 650.

μηνεία ἐξεδόθη πρὸ ὀλίγου ([1]). Ἀλλὰ πολλαὶ ἑρμηνεῖαι αὐτοῦ εἰς τὴν ἁγίαν Γραφὴν μένουσιν ἄχρι τοῦ νῦν ἐν χειρογράφοις, εἰ καὶ διὰ τὸ ἑλληνικὸν τοὐλάχιστον κείμενον τῆς Γραφῆς, ὅπερ παρὰ τῷ Πολυχρονίῳ εὑρίσκεται λίαν ἀκριβές, ἅπασαι αἱ ἑρμηνεῖαι τοῦ περικλεοῦς ποιμένος εἰσὶ πλείστου ἄξιαι. Ἐκ τῶν ἑρμηνειῶν αὐτοῦ εἰς ἅπαντας τοὺς Προφήτας, μείζονας καὶ ἐλάσσονας, ἐξεδόθησαν ἄχρι τοῦ νῦν αἱ εἰς τὸν Ἰεζεκιὴλ καὶ τὸν Ἱερεμίαν ([2]). Ἐπὶ δὲ τούτοις ἐξεδόθησαν αἱ εἰς τὰς Παροιμίας καὶ εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων ([3]).

§. 195. Ἰωάννης ὁ Κολοβός· Ἀρσένιος ὁ Μέγας.

Ἐν τῇ κατὰ τὴν Αἴγυπτον ἐρήμῳ τῆς Σκήτεως, κατὰ τὴν ἀρχὴν τοῦ πέμπτου αἰῶνος ἤκμαζον δύο ἐρημῖται, ἐν μέρει συνδεδεμένοι ἀλλήλοις διὰ τῆς πνευματικῆς συγγενείας. Οὗτοι ἦσαν Ἰωάννης ὁ Κολοβὸς καὶ Ἀρσένιος ὁ μέγας.

Ὁ Ἰωάννης, Κολοβὸς ἐπικληθεὶς διὰ τὸ μικρὸν αὐτοῦ ἀνά-

([1]) Ὑπὸ τοῦ Μαΐου Vet. auct. T. I. Romæ 1831.

([2]) Ὁ Μαΐος (l. c.) γράφει, ὅτι ἐν τοῖς δυσὶ βατικαν. χειρογρ. καθ' ἃ ἐξεδόθη ἡ εἰς τὸν Δανιὴλ ἑρμηνεία τοῦ Πολυχρονίου, ἀναγινώσκονται καὶ αἱ εἰς ἅπαντας τοὺς Προφήτας, μείζονάς τε καὶ ἐλάσσονας. Ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς διέσωσεν ἐν τῷ τρίτῳ περὶ εἰκόνων λόγῳ αὐτοῦ περικοπὴν ἐκ τῆς εἰς τὸν Προφ. Ἰεζεκιὴλ ἑρμ. τοῦ Πολυχρονίου (T. I. σ. 372). Ἡ ὑπόθεσις τοῦ βιβλ. τοῦ Ἰεζεκιὴλ κατὰ τὸν Πολυχρόνιον ἐξεδόθη ἐν τῷ η' τόμῳ Crit. Sacr. Αὐτὴ δὲ ἡ ἑρμηνεία ἐν τῷ πρωτοτ. εὑρηται ἐν τῷ βεν. χειρ. παρὰ Βανδίνῃ Cat. bibl. Medic. Lavr. p. 21, ἐν τῇ λατιν. γλώσ. ἐν ταῖς Σειραῖς Romæ 1604. 3 tom. Ἡ εἰς τὸν Πρ. Ἱερεμίαν ἑρμηνεία ἐν ταῖς Σειρ. gr. lat. Lugd. 1633. Fabric. B. Gr. VIII, 666. 668.

([3]) Ἡ ἑρμηνεία εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων ἐξεδόθη ὑπὸ Μευρσίου (μετὰ τῆς τοῦ Εὐσεβίου καὶ Ψελλοῦ), Lugd. Batav. 1617. Ἡ εἰς τὰς Παροιμίας ὑπὸ Πελτάνου Catena in Proverbis, Antwerp. 1614. Γνωστὴ ἔτι ἐκ χειρογρ. ἡ εἰς τὸν Ἐκκλησιαστήν. Catal. cod. Tourin. p. 786. Menrius in catal. cod. bavar. p. 14 Labdus Ms. Biblioth. p. 177 πρβλ. Fabric. Bibl. Gr. VIII. p. 659-661. X. 362, 363. ed. Hare. Fluegge theol. Litterat. II. p. 196.

στημα, ἦν μέγας κατὰ τὰς ἀρετάς. Ὁ γέρων αὐτοῦ φυτεύσας ξύλον ξηρόν, εἶπεν αὐτῷ καθ᾽ ἑκάστην ποτίζειν αὐτὸ ἕως ἂν καρπὸν ποιήσῃ. Ὑπήκουσεν αὐτῷ μετ᾽ ἄκρας προθυμίας· μετὰ δὲ τρία ἔτη ἔζησε καὶ καρπὸν ἐποίησε τὸ ξύλον, ὅπερ ἐνεγκὼν εἰς τὴν Ἐκκλησίαν, εἶπε τοῖς ἀδελφοῖς: Λάβετε, φάγετε καρπὸν ὑπακοῆς. Οὐκ ὀλίγον ἠγωνίσατο πρὸς τὸ θερμὸν τῆς ψυχῆς αὐτοῦ, ἀλλ᾽ ἐκτήσατο πρᾳότητα ἀμνοῦ. Εἶπε ποτὲ ἀδελφὸς αὐτῷ: ἔχεις κακὴν καρδίαν. Τοῦτο ἀληθές, ἀπεκρίνατο, καὶ δὴ καὶ πολλῷ πλεῖον, ἢ ὅσῳ νομίζεις. Μέγα ἡγεῖτο κατόρθωμα τὸ ἐπιστρέψαι ἁμαρτωλὸν πρὸς τὸν Κύριον. Τὴν Παϊσίαν, ἐκκλίνασαν τῆς εὐθείας ὁδοῦ, κατώρθωσε τοσοῦτον συγκινῆσαι, ὥστε αὕτη ἐγκατέλιπε τὸν οἶκον αὐτῆς, μηδὲν περὶ αὐτοῦ διαταξαμένη ἢ εἰποῦσα, καὶ ἐν ἀγρίᾳ ἐρήμῳ διῆλθε τὸ ὑπόλοιπον τοῦ βίου. Ὁ Ἰωάννης ἀνεπαύθη μακαρίως περὶ τὸ 422 (1).

Ἐκτὸς τῶν ἀποφθεγμάτων τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ, ὑπ᾽ ἄλλων γραφέντων (2), νῦν ἐστι γνωστὴ ἡ ὡραία καὶ ἀκριβὴς περιγραφὴ τοῦ βίου τοῦ ὁσίου Παϊσίου, συγγραφεῖσα ὑπ᾽ αὐτοῦ πρὸς κοινὴν ὠφέλειαν (3).

Ὁ Ἀρσένιος, ρωμαῖος πατρίκιος, παίδευσιν ρωμαϊκὴν καὶ ἑλληνικὴν ἐπιστάμενος, ἠσπάσατο νέος ἔτι ὢν τὸν μοναχικὸν βίον. Διαπρεπὴς ὢν ἐπί τε τῷ γένει καὶ τῇ σοφίᾳ αὐτοῦ, ἐξελέγη διδάσκαλος τῶν υἱῶν τοῦ αὐτοκράτορος Θεοδοσίου, Ἀρκαδίου καὶ Ὁνωρίου. Ἐν τοῖς ἀνακτόροις ἔτι ὤν, ηὔξατο τῷ Θεῷ εἰπών: Κύριε, ὁδήγησόν με πῶς σωθῶ. Καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα: Ἀρσένιε, φεῦγε τοὺς ἀνθρώπους καὶ σώζου. Ὁ δέ, μηδὲν μελήσας, ἀλλὰ τὴν ἐσθῆτα μεταλλάξας, ἀπεχώρησεν ἐκ τῶν ἀνακτόρων εἰς τὴν ἔρημον τῆς Σκήτεως, ἔνθα τὸ πρῶτον τῆς ὑπακοῆς μάθημα ἔλαβεν εὐπειθῶς παρ᾽ Ἰωάννου τοῦ Κολοβοῦ, καὶ ἔνθα 55 ὅλα ἔτη διῆλθεν ἀσκούμενος. Ἐξεδήμησε δὲ πρὸς Κύριον τῷ 445 (4).

(1) Ἡ μνήμη αὐτοῦ ἑορτάζεται παρὰ μὲν τοῖς Κόπταις τῇ ιζ´ Ὀκτωβρίου, παρὰ δὲ τοῖς Λατίνοις τῇ ιε´ Σεπτεμβρίου.

(2) Τὰ ἀποφθέγματα ταῦτα ἐξεδόθησαν ὑπὸ τοῦ Κοτελερίου in Monum. eccl. T. I. Paris 1677.

(3) Fabr. Bib. XI ed Harl.

(4) Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ η´ Μαΐου.

Πάνυ σοφὸς ὢν καὶ εἰς τηλικοῦτον ἀρετῆς ὕψος ἀναβάς, ἠδύνατο γράψαι πολλὰ καὶ περὶ πολλῶν, ἀλλ' ὡς λέγει ὁ μαθητὴς αὐτοῦ Δανιήλ, «οὐδέποτε ἤθελε λαλεῖν τι ζήτημα ἐκ τῆς Γραφῆς, καίπερ δυνάμενος λαλῆσαι, εἰ ἤθελεν· ἀλλ' οὐδ' ἐπιστολὴν ταχέως ἔγραφεν» (1). Ἐντεῦθέν εἰσι γνωστὰ μόνον α΄] τὰ ἀποφθέγματα αὐτοῦ (2), καὶ β΄] ἡ διδασκαλία καὶ παραίνεσις αὐτοῦ τοῖς μοναχοῖς (3).

§. 196. Αὐγουστῖνος Ἱππῶνος ἐπίσκοπος.

α΄) Ἐν τῷ βίῳ αὐτοῦ.

Ἐν τῇ Δύσει κατὰ τὸν χρόνον τοῦτον καὶ τὸν μετὰ ταῦτα οὐδεὶς τῶν διδασκάλων τῆς Ἐκκλησίας ἐκτήσατο τηλικαύτην δόξαν, ἡλίκην ὁ Ἱππῶνος ἐπίσκοπος Αὐρήλιος Αὐγουστῖνος.

Ὁ θεῖος οὗτος ἀνὴρ ἐγεννήθη ἐν Ταγάστῃ (ἢ Ταγαστάμῃ) τῆς Νουμιδίας τῇ ιγ΄ Νοεμβρίου τοῦ 354ου ἔτους. Ἡ εὐσεβὴς αὐτοῦ μήτηρ Μονίκη ἐμερίμνα παντὶ σθένει περὶ τοῦ ἀληθοῦς φωτισμοῦ τοῦ νοῦ καὶ τῆς ἠθικῆς διαπλάσεως τῆς καρδίας αὐτοῦ· ἀλλ' ὁ παῖς Αὐγουστῖνος ἦν ἐπιρρεπέστερος πρὸς τὰ παίγνια καὶ τὰ παιδικὰ ψυχαγωγήματα, ἢ πρὸς τὴν περὶ τὰ γράμματα σπουδήν (4). Ἐν Μαδαύροις, πόλει κειμένῃ πλησίον τῆς Ταγάστης, ἐσπούδασε περὶ τοὺς λόγους [α], καὶ ἐντεῦθεν μετέβη εἰς Καρχηδόνα. Τὸ ἔτος τοῦ ἀργοῦ βίου, ὃν διῆλθεν ἀπὸ τῆς εἰσόδου αὐτοῦ εἰς τὴν ἐν τῇ πόλει ταύτῃ ῥητορικὴν σχολήν, ἦν τῇ μητρὶ αὐτοῦ ἔτος πικρῶν δακρύων. Ὁ θάνατος τοῦ πατρός [β], στερήσας αὐτὸν τὰ πρότερα τοῦ βίου μέσα, οὐκ ἀπέτρεψεν καὶ τῆς ῥᾳθυμίας. Ἡ πλουσία Καρχηδὼν ἦν πλή-

(1) Galland, Bibl. T. VIII. p. 436.

(2) Ap. Coteler. Monum. Eccles. Gr. T. I. p. 353—372.

(3) Sanct. Arsen. Doctr. et exhort. ad Monachos. Τὸ πρῶτον ἐξεδ. ὑπὸ Κομβεφισ. in Auct. Patr. Par. 1648, ἔπειτα δὲ ὑπὸ Γαλλανδ. T. VIII. Bibl. Patr.

(4) Confession. lib. I. c. 3-14. Possid. in v. August. Κατ' ἐξοχὴν δὲ μεγάλη ἦν ἡ ἀποστροφὴ αὐτοῦ πρὸς τὴν ἑλληνικὴν γλῶσσαν.

[α] Εἰς τὴν πόλιν ταύτην ἀφίκετο δεκαὲξ ἔτη γεγονώς. Σ. Μ.

[β] Ὁ πατὴρ αὐτοῦ, Πατρίκιος καλούμενος, ἐγένετο χριστιανὸς περὶ τὸ τέλος τοῦ βίου αὐτοῦ. Confession. lib. IX. c. IX. n. 22. Σ. Μ.

ρης σκανδάλων. Ἄγων τὸ 18ον ἔτος ἐγένετο παράνομος πατὴρ υἱοῦ, ὃν ὠνόμασεν Ἀδεοδάτον (1). Οὐ δυσχερὲς ἦν τοῖς Μανιχαίοις τὸ κρατῆσαι τοιούτου νέου ἀνθρώπου. Ἡ κατὰ συγκυρίαν ἀνάγνωσις τοῦ Ὀρτενσίου τοῦ Κικέρωνος ἐνέβαλεν αὐτῷ τὸν πόθον τοῦ σπουδάσαι τὴν φιλοσοφίαν τοῦ Ἀριστοτέλους καὶ τοῦ Πλάτωνος [γ]. Οἱ δὲ Μανιχαῖοι ὑπισχνοῦντο δεῖξαι αὐτῷ τὴν πρὸς τὴν ὑψίστην σοφίαν ὁδόν. Τὸν βίον, ὃν ἀπεδοκίμαζεν ἡ συνείδησις αὐτοῦ, οὐκ ἐμέμφοντο οἱ Μανιχαῖοι συνῳδὰ τῇ περὶ τῆς κακῆς ἀρχῆς διδασκαλίᾳ αὐτῶν. Τὴν θεωρητικὴν καὶ πρακτικὴν αὐτῶν διδασκαλίαν ἐδέξατο μετὰ θερμότητος ὁ Αὐγουστῖνος (2). Ἡ μήτηρ αὐτοῦ ἔχεε πολλῷ πικρότερα δάκρυα ἐπὶ τῇ ἀποπλανήσει αὐτοῦ ἀπὸ τοῦ χριστιανικοῦ πνεύματος. Δεηθεῖσα ἁγίου τινὸς ἐπισκόπου χρήσασθαι πάσῃ σπουδῇ πρὸς ἐπιστροφὴν τοῦ ἀπολωλότος υἱοῦ, ἔλαβε παρ᾽ αὐτοῦ τὴν ἀπόκρισιν: «Vade a me; ita vivas· fieri enim non potest, ut filius istarum lacrymarum pereat,» ἤτοι: «Πορεύου ἀπ᾽ ἐμοῦ· ζῆθι οὕτως· ἀδύνατον γὰρ ἀπολεσθῆναι τὸν υἱὸν τοσούτων δακρύων» [δ].

---

(1) Confession. lib. I. 2 3. III. 1. 3-5.

[γ] Ὁ ἱερὸς Αὐγουστῖνος ἦγε τὸ 19 ἔτος ὅτε ἀνέγνω τὸ σύγγραμμα τοῦτο, ὅπερ δυστυχῶς ἀπωλέσθη. Σ. Μ.

(2) «Ἔπεσον τότε, λέγει, εἰς αἵρεσιν ἀνθρώπων ὑπερηφάνων καὶ ἀφρόνων, σαρκικωτάτων καὶ λαλιστάτων. Οἱ λόγοι αὐτῶν ἦσαν ὡς παγίδες τοῦ διαβόλου, ἰξὸς ἀληλιμμένος συλλαβαῖς τοῦ ὀνόματος Σοῦ, καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τοῦ Παρακλήτου, τοῦ ἁγ. Πνεύματος. Ταῦτα τὰ ὀνόματα εἶχον ἀείποτε διὰ στόματος, ἀλλ᾽ οὐδὲν ἄλλο ἦσαν αὐτοῖς ἢ κενὸς ἦχος, ψόφος τῆς γλώσσης, καὶ ἡ καρδία αὐτῶν ἦν διάκενος τῆς ἀληθείας». Confession. lib. III. c. 6. Βλ. καὶ τὸ σύγγραμμα de utilit. credendi ad Honor. l. III.

[δ] «Ὢ τῆς μυστηριώδους δυνάμεως, λέγει ὁ σοφὸς Poujoulat, τῶν δακρύων εὐσεβοῦς μητρός! Ἄγγελος συλλέγει αὐτὰ ἐν χρυσῇ φιάλῃ καὶ φέρει πρὸ τοῦ θείου θρόνου ὡς πολυτιμοτάτην προσφοράν. Τα δάκρυα ἁγίας μητρὸς ὑπὲρ τοῦ υἱοῦ αὐτῆς μεταβάλλονται εἰς ἀδαμαντίνην ἀσπίδα, ἥτις ἐπαμύνει αὐτῷ διὰ μέσου τῆς ζωῆς. Εἰ ὁ υἱὸς οὗτός ἐστιν ἐντεταφιασμένος ἐν τῇ νυκτὶ τοῦ ψεύδους, τὰ μητρικὰ δάκρυα ἔχουσιν ἄρρητον δύναμιν ἀποσπάσαι αὐτὸν ἐκ τοῦ βαράθρου ὅσον καὶ ἂν ᾖ βαθύ· λέγουσι τῷ νέῳ τῷ κατακειμένῳ ἐπὶ τῆς σοροῦ τῆς πλάνης, ὥς ποτε ὁ θεῖος Διδάσκαλος τῷ υἱῷ τῆς

Ἐπανελθὼν (τῷ 375) ὁ Αὐγουστῖνος εἰς Ταγάστην, ἤρξατο διδάσκειν ἐνταῦθα τὴν ῥητορικήν· ἀλλ᾽ ἡ φιλοδοξία παρώρμησεν αὐτὸν ζητῆσαι λαμπρότερον στάδιον. Ἐντεῦθεν μετέβη πάλιν εἰς Καρχηδόνα, ἔνθα συνέστησε ῥητορικὴν σχολήν. Ἐπειδὴ δὲ ὁ ἀριθμὸς τῶν μαθητῶν οὐκ ἐκολάκευσε τὴν φιλαυτίαν αὐτοῦ, ἀνεχώρησε παρὰ τὴν θέλησιν τῆς μητρὸς αὐτοῦ εἰς Ρώμην ([1]). Ὁ ἔπαρχος τῆς πόλεως ταύτης Σύμμαχος ὥρισεν αὐτῷ (τῷ 384) θέσιν καθηγητοῦ τῆς ῥητορικῆς ἐν Μεδιολάνοις. Ἐνταῦθα ἡ πατρικὴ δεξίωσις, ἧς ἔτυχε παρὰ τοῦ ἁγίου Ἀμβροσίου, καὶ ἔπειτα αἱ ὁμιλίαι αὐτοῦ εἵλκυον μικρὸν κατὰ μικρὸν τὴν ψυχὴν αὐτοῦ πρὸς τὴν ἀλήθειαν τοῦ Ἰησοῦ Χριστοῦ. Τὸ μὲν πρῶτον ἠκροᾶτο τοῦ Ἀμβροσίου μόνον, ὅπως κρίνῃ περὶ τῆς εὐγλωττίας αὐτοῦ· ἔπειτα δὲ εἰσέδυσεν ἀνεπαισθήτως εἰς τὴν καρδίαν αὐτοῦ ἡ ἀλήθεια, καὶ ἀπεκάλυψε τὰς πλάνας τῶν Μανιχαίων. Ἔγνω, τοὐλάχιστον, ταχθῆναι ἐν τοῖς κατηχουμένοις τῆς ἁγίας Ἐκκλησίας ([2]).

χήρας τῆς Ναΐν: Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. Θύελλαι τοῦ ὠκεανοῦ, θηρία τῆς ἐρήμου, οὐδὲν δυνήσεσθε ποιῆσαι κατὰ υἱοῦ προστατευομένου ὑπὸ τῶν δακρύων μητρὸς προσευχομένης ἀδιακόπως πρὸ τοῦ σταυροῦ. Οὐδὲν δυνήσεσθε ποιῆσαι κατ᾽ αὐτοῦ παντοῖοι κίνδυνοι, ὑφ᾽ ὧν τὸ στάδιον τοῦ ἀνθρώπου κατέσπαρται· καὶ ὅταν ἡ προσευχομένη καὶ κλαίουσα μήτηρ ἀποπτῇ ἐπὶ φωτεινῆς ἀκτῖνος εἰς τὴν ἀόρατον πατρίδα, ἔνθα ὁ ὀφθαλμὸς ἀγνοεῖ τὰ δάκρυα, ἡ προσευχὴ αὐτῆς φυλάξει ἔτι τὸν υἱόν, ὃν κατέλιπεν ὀρφανόν» (Hist. de S. Augustin T. I. p. 10). Σ. Μ.

([1]) Confession. l. III. c. 12. V. c. 3-9.

([2]) Confession. l. V. c. 13. 14.

Ἄξιοι πάσης προσοχῆς οἱ λόγοι τοῦ Αὐγουστίνου περὶ τοῦ πῶς εἰσέδυσεν ἡ ἀλήθεια εἰς τὴν καρδίαν αὐτοῦ. «Ὁ ἄνθρωπος οὗτος τοῦ Θεοῦ ὑπεδέξατό με ὡς πατήρ, καὶ τὴν χαρὰν αὐτοῦ ἐπὶ τῇ ἐμῇ ἀφίξει ἐδήλωσε μετ᾽ ἀγαθότητος ἀξίας ἐπισκόπου. Καὶ ἠρξάμην ἀγαπᾶν αὐτὸν τὸ πρῶτον οὐχ ὡς ἄνδρα σοφὸν ἐν τῇ ἀληθείᾳ, ἣν οὐκ ἤλπιζον εὑρεῖν ἐν τῇ σῇ ἐκκλησίᾳ, ἀλλ᾽ ὡς εὐμενῆ πρὸς ἐμέ. Καὶ ἠκροώμην ἐπιμελῶς αὐτοῦ ὁμιλοῦντος πρὸς τὸν λαὸν οὐ τῇ προσηκούσῃ προσοχῇ, ἀλλ᾽ ὅπως δοκιμάσω τὴν εὐγλωττίαν αὐτοῦ, ἵνα βεβαιωθῶ εἰ αὕτη ἐστὶν ἀξία τῆς φήμης αὐτοῦ, εἰ ἔρρεε μετὰ μείζονος ἢ ἥττονος ἀφθονίας, ἢ ὡς ἐλέγετο. Καὶ ὑπὸ μὲν τῶν λόγων αὐτοῦ μετηρσιούμην, τῶν δὲ πραγμάτων ἀμελὴς καὶ κα-

Ἀπὸ τοῦ χρόνου τούτου ἤρξατο ἀσχολεῖσθαι μετὰ μείζονος προσοχῆς περὶ τὴν ἀνάγνωσιν τῆς ἁγίας Γραφῆς καὶ περὶ τὴν φιλοσοφικὴν αὐτοῦ ἐκπαίδευσιν, κωλυθεῖσαν ὑπὸ τῆς αἱρέσεως τῶν Μανιχαίων (1). Ἡ τῆς καρδίας ἀκαθαρσία ἀπεκαλύπτετο αὐτῷ πολλῷ ἰσχυρότερον. Σύνειδεν ἑαυτὸν ἁμαρτωλὸν ὄντα, ἀλλ᾽ οὐχ εὕρισκεν ἐν ἑαυτῷ δυνάμεις ἀγωνίσασθαι ταῖς πρὸς τὴν ἁμαρτίαν ῥοπαῖς· ὁ μὲν νοῦς αὐτοῦ ἐνίκησε τὰς ἀμφιβολίας, ἀλλ᾽ «ἐν τῇ ζωῇ ἅπαντα συνεταράσσοντο». Ἐν τῇ ψυχῇ αὐτοῦ ἤρξατο μέγας ἀγὼν [ε].

Ἡ περὶ τῶν ἀναχωρητῶν τῆς Αἰγύπτου διήγησις κατέπληξεν αὐτὸν κατ᾽ ἐξοχήν. «Τί πάσχομεν; τί ἐστι τοῦτο; ἔλεγε πρὸς τὸν φίλον αὐτοῦ Ἀλύπιον, τί ἤκουσας; Ἀνίστανται οἱ ἀμαθεῖς, καὶ ἁρπάζουσι τὸν οὐρανόν· καὶ ἡμεῖς μετὰ τῶν ἐπιστημῶν ἡμῶν ἄνευ καρδίας, ἰδοὺ πῶς κυλινδούμεθα ἐν τῇ σαρκὶ καὶ τῷ αἵματι! Ἆρα, ἐπειδὴ προηγήθησαν, αἰσχυνόμεθα ἀκολουθῆσαι αὐτοῖς, καὶ οὐκ ἔστι

ταφρονητὴς παριστάμην· καὶ ἐγοητευόμην ὑπὸ τῆς ἡδύτητος τοῦ λόγου, σοφοτέρου ὄντος, εἰ καὶ ἧττον κολακευτικοῦ καὶ ἐπαγωγοῦ, ἢ ὁ τοῦ Φαύστου. . . . Ἔγνων οὖν γενέσθαι κατηχούμενος ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ, ἣν συνέστησάν μοι οἱ ἐμοὶ γεννήτορες ἕως ἂν ἀποκαλυφθῇ μοι καθαρῶς, ὅπως ἠδυνάμην κατευθῦναι τὰ διαβήματά μου».

[ε] Ἡ ἄβυσσος τῆς ἀνθρωπίνης καρδίας φαίνεται ἡμῖν ἐν ταῖς καταπληκτικαῖς εἰκόσιν, ἃς διέγραφεν περὶ ἑαυτοῦ ὁ Αὐγουστῖνος ἐν ταῖς Ἐξομολογήσεσιν αὐτοῦ. Τὸ θέαμα τοῦ Αὐγουστίνου παλαίοντος πρὸς τὰ δεσμὰ αὐτοῦ ἐστι μία τῶν ὡραιοτέρων καὶ βαθυτέρων σπουδῶν αἵτινες ἐγένοντό ποτε. Ὁ Αὐγουστῖνος διαμένει προσκεκολλημένος τῷ χείλει τῆς ἀβύσσου τῶν παλαιῶν αὐτοῦ ἀθλιοτήτων, καὶ ἐκεῖ ἀναπνέει· ἔπειτα μικρὸν ἐπὶ μικρὸν προσπελάζει τῷ ἀγαθῷ, πρὸς ὃ ἐκτείνει διαπόνως τοὺς βραχίονας. Ὁσάκις ἐστὶν ἐγγὺς τοῦ ἐφικέσθαι τοῦ σκοποῦ, φρίττει ἀναλογιζόμενος, ὅτι ὀφείλει ἀποστῆναι τοῦ προτέρου βίου, ὅπως ἀναγεννηθῇ ἐν τῇ ἀγάπῃ τοῦ ἀγαθοῦ. Ὁ στοχασμὸς οὗτος οὐκ ὤθει αὐτὸν εἰς τὰ ὀπίσω, ἀλλὰ κατεῖχε μετέωρον. Αἱ ἄλλοτε προσφιλεῖς αὐτῷ ματαιότητες ἕλκουσιν αὐτόν, οὕτως εἰπεῖν, ἐκ τοῦ ἐνδύματος τῆς σαρκὸς αὐτοῦ· ἐφαίνοντο λέγουσαι αὐτῷ: Ἐγκαταλείπεις ἡμᾶς; Αἱ λαθραῖαι προσβολαὶ τῶν μικρῶν ἀνθρωπίνων πραγμάτων ἐβράδυνον τὴν πορείαν τοῦ Αὐγουστίνου· εἷλκε τοὺς τελευταίους κρίκους ἁλύσεως, ἥτις ἔμελλε συντριβῆναι. Βλ. Poujoulat Hist. de S. Augustin. Σ. Μ.

μείζων αἰσχύνη τὸ μὴ σπουδάσαι ἀκολουθῆσαι; » . . . Ὑπὸ τοιούτων σκέψεων ταρασσόμενος, ἔδραμεν εἰς κηπίδιόν τι, κείμενον παρὰ τῷ οἴκῳ, ἐν ᾧ κατῴκει, καὶ ἐκεῖ πεσὼν κατὰ γῆς, ἐδεήθη μετὰ δακρύων τοῦ Κυρίου, λέγων: « Καὶ σύ, Κύριε, ἕως πότε; Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος; Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων . . . Πόσον χρόνον, πόσον χρόνον, αὔριον καὶ αὔριον; διὰ τί οὐ νῦν, διὰ τί οὐκ ἔστιν ἡ ὥρα αὕτη τὸ τέλος τῆς αἰσχρότητός μου; Ἔλεγον ταῦτα, καὶ ἐδάκρυον πικρότατα τὴν καρδίαν συντετριμμένος. Καὶ ἰδοὺ ἀκούω φωνῆς ἐκ παρακειμένης οἰκίας, μετ' ᾠδῆς λεγούσης, καὶ συχνῶς ἐπαναλαμβανούσης ὡσεὶ παιδὸς ἢ κόρης: tolle, lege, tolle, lege; (λάβε, ἀνάγνωθι, λάβε, ἀνάγνωθι)». Ἀνέστη, ἀνέῳξε τὸ βιβλίον τοῦ Ἀποστόλου, καὶ αἱ πρῶται λέξεις, ἃς εἶδον οἱ ὀφθαλμοὶ αὐτοῦ ἦσαν: «μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας» (Ρωμ. ιγ' 13. 14).

Ἀπὸ τῆς στιγμῆς ταύτης ἐγένετο τῷ Αὐγουστίνῳ ὁλοσχερὴς μεταβολὴ πρὸς ἄφατον χαρὰν τῆς μητρὸς αὐτοῦ (¹). Μετὰ ἓν ἔτος (τῷ 387) ἐβαπτίσθη ὁ Αὐγουστῖνος μετὰ τοῦ υἱοῦ αὐτοῦ καὶ τοῦ φίλου Ἀλυπίου ὑπὸ τοῦ ἁγίου Ἀμβροσίου (²) [ζ]. Μετὰ τὸ βάπτισμα ἔγνω ἀπελθεῖν εἰς Ἀφρικήν· ἀλλ' ὁ θάνατος τῆς μακαρίας αὐτοῦ μητρὸς

(¹) Confession VIII. 1. 8. 12.

(²) Contr. Julian. 1. 3.

[ζ] Λέγεται, ὅτι μετὰ τὴν βάπτισιν τοῦ ἱεροῦ Αὐγουστίνου ἐψάλη ὁ ὑπὸ τοῦ ἁγίου Ἀμβροσίου ποιηθεὶς ὕμνος *Te Deum*. Ἡ ἐν τῇ βασιλικῇ τῶν Μεδιολάνων θρησκευτικὴ ψαλμῳδία συνεκίνησε βαθύτατα τὸν θεῖον τοῦτον ἄνδρα. « Οὐκ ἐκορεννύμην, λέγει, ἐν ταῖς πρώταις ταύταις ἡμέραις θεωρῶν μετὰ θαυμαστῆς ἡδύτητος τὸ βάθος τῶν βουλῶν Σου περὶ τῆς σωτηρίας τοῦ ἀνθρωπίνου γένους. Ὅσον ἔκλαιον ἀκροώμενος τῶν ὕμνων Σου καὶ τῶν ᾀσμάτων τῶν ᾀδομένων ἐν τῇ ἐκκλησίᾳ Σου ὑπὸ ἁρμονικῶν φωνῶν, αἳ ἥπτοντό μου μέχρι τοῦ βάθους τῆς καρδίας! Αἱ φωναὶ αὗται εἰσέδυον εἰς τὰ ὦτά μου, καὶ κατεβίβαζον τὴν ἀλήθειαν εἰς τὴν ψυχήν μου· ἀνῆπτον ἐν ἐμοὶ τὴν θερμότητα τῆς εὐσεβείας· τὰ δάκρυά μου ἔρρεον καὶ ἡδυνόμην χέων αὐτά». (Confession. IX. 6). Σ. Μ.

ἐκώλυσεν αὐτόν, πληρώσας τὴν ψυχὴν αὐτοῦ θλίψεως ἐπὶ τῇ ἀπωλείᾳ αὐτῆς[η].

[η] Κατὰ τὰς τελευταίας ἡμέρας, ἃς ἡ ἁγία αὕτη γυνὴ διῆλθεν ἐν τῷ κόσμῳ τούτῳ συνδιελέχθη τῷ υἱῷ αὐτῆς περὶ τῆς τῶν ἁγίων μακαριότητος ἐν τῇ αἰωνιότητι. Ἀμφότεροι μεταρσιοῦνται ἐκ τοῦ ὑλικοῦ κόσμου εἰς τὸν ἀόρατον ἐπὶ πτερύγων, ἃς πνεῦμα Θεοῦ φαίνεται ὑποβαστάζον. Ἀνομολογοῦσιν ὅ,τι ἀτελές, περιφρονητὸν καὶ μάταιον ἐνυπάρχει ταῖς ὑλικαῖς ἡδυπαθείαις τε καὶ ἀπολαύσεσιν, οἱανδήποτε κάλλους μαρμαρυγὴν καὶ ἂν περιβάλῃ αὐτὰς ἡ φαντασία. Ἔπειτα, εἰσορμῶντες εἰς τὴν ἀμετάτρεπτον μακαριότητα, διέρχονται ἅπαντα τὰ τοῦ φυσικοῦ κόσμου, τὸν θόλον, ἔνθα μαρμαίρουσιν οἱ ἀστέρες, καὶ ὅθεν ἐκπέμπεται τὸ φῶς τοῖς ἀνθρώποις· τέλος διαβαίνοντες τὰς χώρας τῆς ψυχῆς, ἀφικνοῦνται εἰς τὸ ὑπέρτατον καὶ αἰώνιον ὕψος, ἔνθα ἑδρεύει ἡ σοφία, τὸ κάλλος, ὁ Ὤν. Ὁ ἅγιος Αὐγουστῖνος κατέλιπεν ἡμῖν τοῦ διαλόγου τούτου ἐπιτομὴν ἔχουσαν ὧδε: «Μικρὸν πρὸ τῆς ἡμέρας, καθ' ἣν ἡ ἐμὴ μήτηρ ἔμελλε καταλιπεῖν τοῦτον τὸν κόσμον, ἡμέρας, ἣν Σὺ μέν, Κύριε, ἐγίγνωσκες, ἡμεῖς δὲ ἠγνοοῦμεν, συνέπεσεν, ἵνα ἐνεργείᾳ, ὡς πιστεύω, τῶν ἀποκρύφων Σου βουλῶν εὑρεθῶμεν ἀμφότεροι, ἐκείνη τε καὶ ἐγώ, μόνοι παρὰ θυρίδα τινά, ὅθεν ἦν ὁρατὸς ὁ κῆπος τῆς οἰκίας, ἔνθα κατῳκοῦμεν, ἐν τῇ Ὠστίᾳ, κατὰ τὰς ἐκβολὰς τοῦ Τιβέρεως, καὶ ἔνθα μακρὰν τῆς τύρβης τῶν ἀνθρώπων, μετὰ τὸν πόνον μακρᾶς ὁδοιπορίας προπαρεσκευαζόμεθα ἐμβῆναι εἰς τὴν ναῦν. Συνδιελεγόμεθα οὖν ἐκεῖ μόνοι μετ' ἀρρήτου ἡδύτητος, καί, «τὰ μὲν ὀπίσω ἐπιλανθανόμενοι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενοι» (Φιλιπ. γ'. 13), ἠρευνῶμεν ἐνώπιον τῆς ἀληθείας, ἣ εἶ Σύ, οἵα ἐστὶν ἡ αἰώνιος ζωὴ τῶν ἁγίων Σου, «ἣν ὁ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη». (Α' β, 9). Ἠνοίγομεν τὸ στόμα τῆς καρδίας, ἵνα δεξώμεθα ὑψόθεν τὰ ὕδατα τῆς οὐρανίας Σου πηγῆς, τῆς πηγῆς ἐκείνης τῆς ζωῆς, ἥτις ἐστὶν ἐν Σοί, καὶ ἵνα ποτισθέντες αὐτοῖς δυνηθῶμεν ἐννοῆσαι τηλικοῦτον πρᾶγμα κατὰ τὸ μέτρον τοῦ πνεύματος ἡμῶν. Ἐπειδὴ δὲ τὸ τῆς συνδιαλέξεως ἡμῶν συμπέρασμα ἦν, ὅτι αἱ ζωηρόταται τῶν αἰσθήσεων τέρψεις οὐ μόνον οὐκ ἦσαν ἄξιαι παραβληθῆναι πρὸς τὴν χαρὰν τῆς μελλούσης ζωῆς, ἀλλ' οὐδὲ μνημονεῦσαι αὐτῶν, ἀνεβαίνομεν μετὰ θερμοτάτου πόθου πρὸς τὴν ἀθάνατον εὐδαιμονίαν, διατρέχοντες, κατὰ διαδοχὴν ἅπαντα τὰ σωματικά, καὶ αὐτὸν τὸν οὐρανόν, ὅθεν ὁ ἥλιος, ἡ σελήνη, καὶ οἱ ἀστέρες λάμπουσιν ἐπὶ τῆς γῆς. Καὶ

Μεταβαίνων εἰς Ρώμην ἐνέτυχε τοῖς προτέροις αὐτοῦ φίλοις, τοῖς Μανιχαίοις· ἀλλὰ νῦν αἱ πρὸς αὐτοὺς σχέσεις ἦσαν πάντη διάφοροι.

ἀνεβαίνομεν ἀείποτε, σκεπτόμενοι περὶ Σοῦ, εὐλογοῦντές Σε, θαυμάζοντες τὰ ἔργα Σου· καὶ ἤλθομεν μέχρι τῶν ψυχῶν ἡμῶν, ἀλλὰ διήλθομεν αὐτάς, ὅπως δυνηθῶμεν ἀφικέσθαι εἰς ἐκείνην τὴν χώραν τῆς ἀνεξαντλήτου ἀφθονίας, ἔνθα ποιμαίνεις τὸν Ἰσραήλ (ψαλ. οθ΄. 1) αἰωνίως τῷ ἄρτῳ τῆς ἀληθείας Σου, καὶ ἔνθα διαμένει ἐκείνη ἡ ζωὴ τῆς σοφίας, δι' ἧς γίγνονται ἅπαντα, τά τε παρελθόντα καὶ τὰ μέλλοντα· αὕτη δὲ οὐκ ἐποιήθη, ἀλλ' ἔστιν οὕτως, ὡς γέγονε, καὶ οὕτως ἔσται· μᾶλλον δὲ οὐκ ἐγένετο καὶ οὐ γενήσεται ἀλλὰ μόνον ἐστί, διότι ἐστὶν αἰώνιος. Τὸ γὰρ γεγονέναι καὶ γενήσεσθαι οὐκ εἰσὶν αἰώνια. Καὶ ἐν ᾧ διελεγόμεθα οὕτω περὶ ταύτης τῆς ζωῆς καὶ ἐπεχάσκομεν πρὸς αὐτήν, ἐψαύσαμεν αὐτῆς σχεδὸν μεθ' ἁπάσης τῆς ὁρμῆς τῶν καρδιῶν ἡμῶν· καὶ ἀνεστενάξαμεν, καὶ κατελίπομεν ἐκεῖ τὴν ἀπαρχὴν τοῦ πνεύματος (Ρωμ. η΄ 22), καὶ ἐπανήλθομεν εἰς τὸν ψόφον τῶν χειλέων ἡμῶν, ἔνθα ὁ λόγος ἄρχεται καὶ παύεται. Καὶ τί ἐστιν ὅμοιον τῷ Λόγῳ Σου, τῷ Κυρίῳ ἡμῶν, ὃς μένει ἐν Ἑαυτῷ οὐδέποτε γηράσκων, καὶ ὃς τὰ πάντα καινίζει (Σοφ. ζ΄ 27). Ἐλέγομεν τοίνυν, εἰ ἠδύνατο σιγῆσαι ὁ θόρυβος τῆς σαρκός, εἰ τὰ φαντάσματα τῆς γῆς, τῶν ὑδάτων καὶ τοῦ ἀέρος, εἰ αὐτοὶ οἱ οὐρανοὶ ἐσίγων, εἰ ἡ ψυχὴ ἐπ' ἴσης ἐσίγα καὶ ὑψοῦτο ὑπὲρ ἑαυτήν, μὴ διανοουμένη περὶ ἑαυτῆς, εἰ τὰ ἐνύπνια, αἱ φανταστικαὶ ἀποκαλύψεις, εἰ πᾶσα γλῶσσα καὶ πᾶν σημεῖον, εἰ πᾶν ὅ,τι παρέρχεται καὶ γίγνεται, εἰ ἅπαντα ἐσιώπων (ἅπαντα γὰρ ταῦτα λέγουσι τοῖς δυναμένοις ἀκούειν αὐτῶν: οὐκ ἐποιήσαμεν ἡμεῖς ἑαυτά, ἐκεῖνος ἐποίησεν ἡμᾶς, ἀλλ' ἐποίησεν ἡμᾶς ὁ μένων εἰς τὸν αἰῶνα), εἰ οὖν ταῦτα πάντα, εἰπόντα τούτους τοὺς λόγους, οἳ καθιστᾶσιν ἡμᾶς προσεκτικοὺς ἐκείνῳ, ὃς ἐποίησεν αὐτά, καὶ ὃς μόνος ἐλάλησεν οὐ δι' αὐτῶν, ἀλλὰ δι' Ἑαυτοῦ, ἵνα ἀκούωμεν τοῦ Λόγου Αὐτοῦ, οὐ διὰ σαρκικῆς γλώσσης, οὐ δι' ἀγγελικῆς φωνῆς, οὐ διὰ τοῦ κρότου τῆς βροντῆς, οὐ δι' εἰκόνων καὶ αἰνιγμάτων, καὶ εἰ ἐκεῖνος, ὃν ἀγαπῶμεν ἐν τοῖς δημιουργήμασιν Αὐτοῦ ἐγίγνετο ἀκουστὸς ἄνευ αὐτῶν· εἰ ἡ ἔκτασις αὕτη, ἣ παραυτίκα κατέλαβεν ἡμᾶς καὶ προσήγγισεν ὀλίγον τι χρόνου τῇ αἰωνίῳ ταύτῃ σοφίᾳ, τῇ ὑπεράνω ἁπάντων τῶν πραγμάτων μενούσῃ, εἰ τοιαύτη ἔκτασις ἠδύνατο μὴ παύεσθαι . . . . . εἰ αὕτη μόνη ἀνήρπαζε καθεῖλκυε καὶ κατέδυε τὸν θεατὴν αὐτῆς εἰς ἐσωτερικὴν χαράν, ὥστε γενέσθαι ἡμῖν τὴν στιγ-

Μετὰ θερμότητος ἤλεγξε τὰς πλάνας αὐτῶν ἐν ταῖς πρὸς αὐτοὺς διαλέξεσι. Κατὰ τοῦτον τὸν χρόνον συνέγραψε τὰ δύο κατὰ τῶν Μανιχαίων συγγράμματα αὐτοῦ (1).

Ἐπανελθὼν (τῷ 388) εἰς Ταγάστην, ἐπώλησε τὴν περιουσίαν αὐτοῦ καὶ διένειμε τὰ χρήματα τοῖς πτωχοῖς. Αὐτὸς δέ, ὡς λέγει, ἀφιέρωσεν ἑαυτὸν τῇ ἐλευθέρᾳ δουλείᾳ τοῦ Θεοῦ, ἤτοι τῷ μοναχικῷ βίῳ (2). Τρία ἔτη διῆλθεν ἐν τελείᾳ μονώσει, ἀσχολούμενος περὶ τὴν προσευχὴν καὶ τὴν αὐστηρὰν ἄσκησιν. Τῷ δὲ 391 ὁ ἐπίσκοπος Ἱππῶνος Οὐαλέριος προεχείρισεν αὐτὸν εἰς διάκονον, καίπερ πικρῶς κλαίοντα. Προπαρασκευασθεὶς δὲ τῇ ἐρημικῇ προσευχῇ, ἐγένετο ἱεροκήρυξ. Ὠκοδόμησε μοναστήριον, οὗ οἱ μοναχοὶ διῆγον αὐστηρὸν βίον[*], καὶ παρέδωκεν ἑαυτὸν τέλεον τῇ διακονίᾳ τῆς πίστεως. Ὁτὲ μὲν ἔγραφε κατὰ τῶν Μανιχαίων (3), ὁτὲ δὲ ἠσχολεῖτο περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς (4).

μὴν ταύτην τοῦ καθαροῦ νοῦ, ὑφ' ἣ τοσοῦτον ἐστενάξαμεν, ζωὴν ἀτελεύτητον καὶ αἰωνίαν, οὐκ ἂν ἐπληρώθη τότε ὁ λόγος: «Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου;» Καὶ πότε τοῦτο; Ἆρα κατὰ τὴν ἡμέραν, καθ' ἣν πάντες ἐγερθησόμεθα, ἀλλ' οὐ πάντες ἀλλαγησόμεθα; Ταῦτα ἔλεγον, καὶ εἰμὴ τοῦτον τὸν τρόπον καὶ ταύταις ταῖς λέξεσιν, ὅμως, Κύριε, Σὺ οἶσθα, ὅτε κατὰ τὴν ἡμέραν, καθ' ἣν τοιαῦτα ἐλέγομεν, καὶ αὐτὸς ὁ κόσμος καὶ αἱ ἡδοναὶ αὐτοῦ ἐφαίνοντο ἡμῖν πάνυ οὐτιδανά. Τότε εἶπεν ἡ μήτηρ μου: Υἱέ μου, ὡς πρὸς ἐμέ, οὐδὲν πλέον θέλγει με ἐν ταύτῃ τῇ ζωῇ. Ἀγνοῶ τί ἔτι ὀφείλω ποιῆσαι ἐνταῦθα καὶ διὰ τί εἰμι ἐνταῦθα, πληρωθείσης ἤδη τῆς ἐλπίδος τοῦ αἰῶνος τούτου. Ὁ μόνος λόγος, δι' ὃν ἐπόθουν μεῖναι χρόνον τινὰ ἐπὶ τῆς γῆς, ἦν τὸ ἰδεῖν σε καθολικὸν χριστιανὸν πρὸ τοῦ θανάτου μου. Ὁ Θεός μου εὐδόκησεν, ἵνα πληρωθῶσιν ἐκ περισσοῦ αἱ εὐχαί μου, διότι ὁρῶ σε οὐ μόνον καταφρονοῦντα τῆς ἐπὶ γῆς εὐδαιμονίας, ἀλλὰ καὶ δοῦλον τοῦ Θεοῦ ὄντα. Τί ποιῶ ἐνταῦθα;» Confession. L. X. c.9. Poujoulat, Hist. de S. August. Tom. I. p. 104. Σ. Μ.

(1) Retract. l. I. c. 9. De lib. arbr. lib. 3. De moribus Ecclesiæ et de moribus Manichaeorum.

(2) Epist. ad. Albinam.

[*] Possid. c. 3—5. 11. 34. 26.

(3) Τῷ 390 ἔγραψε τὰ βιβλία de utilitate credendi, de duabus animabus contra Manichaeos, de Genesi ad litteram--liber imperfectus. Βλ. Retract. I, 18.

(4) Τὸ 393 ἔγραψε: de sermone

Κατὰ τὸ τέλος τοῦ 395 ὁ γέρων Οὐαλέριος ἐπέμενεν, ἵνα ὁ Αὐγουστῖνος χειροτονηθῇ ἐπίσκοπος (1). Ὁ Οὐαλέριος ἐτελεύτησε μετ' οὐ πολύ· ὁ δὲ Αὐγουστῖνος ἦν ἐπὶ 35 ἔτη ποιμὴν τῆς Ἱππῶνος. Καὶ ἐπίσκοπος ὤν, διέταξε τὴν κοινοβιότητα ἅπασι τοῖς κληρικοῖς, θεὶς ἑαυτὸν ἐν τῇ ἀδελφότητι αὐτῶν· ἐχρῆτο μετ' αὐτῶν μιᾷ τραπέζῃ, καθ' ἣν ἐπετρέπετο ὁμιλεῖν μόνον περὶ σοφῶν ὑποθέσεων, καὶ μηδέποτε κακολογεῖν τοὺς ἀπόντας (2). Ὁ ζῆλος ἤδη αὐτοῦ ἐστράφη κατ' ἐξοχὴν κατὰ τῶν Δονατιστῶν καὶ τῶν Μανιχαίων.

Κατὰ τούτων καὶ ἐκείνων συνεκρότει συχνῶς συνόδους, ἐξερευνῶν καὶ ἐκτιθεὶς τὰ κατὰ τῆς πλάνης μέσα (3). Διελέγετο δημοσίᾳ πρὸς τοὺς πεπλανημένους, ὡς π. χ. πρὸς τὸν Μανιχαῖον Φήλικα, ὃν καὶ κατώρθωσεν ἐπιστρέψαι εἰς τὴν Ὀρθοδοξίαν (4). Ἰδίως δ' ἐπὶ μακρὸν χρόνον ἠγωνίσατο πρὸς τοὺς Δονατιστάς· ἀλλ' αἱ ἐν συνόδῳ πρὸς αὐτοὺς ὁμιλίαι, τρεῖς ὅλας ἡμέρας (κατὰ Ἰούλιον τοῦ 411) διαρκέσασαι, ἐπερατώθησαν λαμπρῷ τῆς Ὀρθοδοξίας θριάμβῳ. Πολλοὶ τῶν ἐπισκόπων αὐτῶν καὶ μεθ' ἅπαντος τοῦ ποιμνίου ἡνώθησαν τῇ ἁγίᾳ Ἐκκλησίᾳ. Πρὸς τοὺς ἀνθρώπους τούτους ἐσπούδαζε τὸ πρῶτον ἐνεργεῖν διὰ τῆς ἀγάπης, τῆς πειθοῦς (5)· ἀλλ' αἱ ὠμότητες καὶ τὰ

Domini in monte,--libri duo, Retract. 1, 15· τῷ 394, expositio quarundam propositionum ex ep. ad Romanos; expositio ep. ad Galatas, ep. ad Roman. in-choata exposit. Βλ. Retr. I. 23, 24, 25.

(1) Ep. 31 ad Paulinum.

(2) Ἐπιστ. 263. Φέρεται ἐπίγραμμα γεγραμμένον ἄνωθεν τῆς τραπέζης, ἐφ' ᾗ τοὺς ξενιζομένους ἐφιλοφρονεῖτο, τὸ ἑξῆς:

quis quis amat dictis absentum rodere vitam
Hanc mensam indignam noverit esse sibi.

[Ὁ ἀοίδιμος Οἰκονόμος μετέφρασεν αὐτὸ ὧδε:

ὃς φιλέει μύθοισι βίον τρώγειν τὸν ἀπόντων
ἴστω τήνδε τράπεζαν ἀνάξιον ἔμμεναι αὐτοῦ. Σ. Μ.]

(3) Τῷ 400 ἔτ. ἐγράφη τὸ κατὰ Μανιχ. ἄριστον σύγγραμμα--Contra Faustum Manichaeum. Κατὰ τὸ αὐτὸ ἔτος--de bapt. contr. Donat. lib. VII. Ἅπαντα τὰ κατὰ τῶν Δονατιστῶν βιβλία ἐγράφησαν τῷ 400 καὶ 403.

(4) De act. cum Felice Manichaeo, lib. 2.

(5) Ep. ad Vincent. c. 5.

φανερὰ αὐτῶν κακουργήματα κατὰ τῶν Ὀρθοδόξων πολλάκις ἠνάγκαζον αὐτὸν παρακαλεῖν τὴν πολιτικὴν ἐξουσίαν, ἵνα καταπραΰνῃ αὐτοὺς δι᾽ αὐστηρῶν μέτρων (1)· ἑνὸς δὲ μόνον οὐκ ἐφίετο τῆς θανατικῆς δηλονότι ποινῆς. «Οὐκ ἐπιμεμφόμεθα αὐτοῖς, καὶ οὐ διώκομεν αὐτούς, προσετίθει, καὶ λίαν λυπηρὸν ἔσται ἡμῖν, ἐὰν οἱ ἀπ᾽ ἐξουσίας ἀμοιβαίαις ποιναῖς τιμωρήσωνται αὐτοὺς ἀνθ᾽ ὧν ἐπεποιήκεσαν τοὺς δούλους τοῦ Θεοῦ» (2). Ἐν τούτοις οὐκ ἐπαύετο διδοὺς πνευματικὴν τροφὴν καὶ τοῖς ὀρθοδόξοις αὐτοῦ τέκνοις. Τῷ 400 καὶ 401 ἔγραψεν ἑρμηνείας εἰς τὴν ἁγίαν Γραφὴν (3) καὶ κανόνας τοῦ κατὰ Χριστὸν πολιτεύεσθαι (4).

Τῷ 411 ἤρξαντο οἱ κατὰ Πελαγίου καὶ τοῦ ἑταίρου αὐτοῦ Καιλεστίου ἀγῶνες τοῦ Αὐγουστίνου (5). Τῷ 412 κατεδικάσθη ἐν Καρχηδόνι ὁ Καιλέστιος. Τότε ἔγραψεν ὁ Αὐγουστῖνος τὸ πρῶτον σύγγραμμα κατὰ τῶν δοξασιῶν τοῦ Πελαγίου: *de meritis et remissione peccatorum, et de parvulorum baptismo ad Marcellinum* lib. I., (περὶ τῶν ποινῶν τῶν ἁμαρτημάτων καὶ τῆς ἀφέσεως αὐτῶν καὶ περὶ τοῦ βαπτίσματος τῶν νηπίων πρὸς Μαρκελλῖνον), καὶ κατόπιν τὸ *de spiritu et litera* (περὶ τοῦ πνεύματος καὶ τοῦ γράμματος), τουτέστι περὶ τοῦ νόμου καὶ τῆς χάριτος. Ἐν ἀμφοτέροις τούτοις τοῖς συγγράμμασιν οὐ ποιεῖται μνείαν τοῦ ὀνόματος τοῦ Πελαγίου, ἵνα μή, ὡς λέγει, ὁ ἀντίπαλος ἀχθεσθείς, γένηται ἀνίατος (6). Κατὰ τὸ τέλος τοῦ 411 ὁ Πελάγιος μετέβη εἰς Παλαιστίνην, ἔνθα εὗρε βοή-

(1) Contra Gaudent. l. I. c. 29. ep. 185 ad Bonifac., ep. 93 ad Vincent. Rogastin.

(2) Ep. 133 ad Marcellin., ep. 134 ad Apringium, ep. 139 ad Marcellin.

(3) Τῷ 400 ἔτ. ἔγρ. Nota in Job; quaest. Evangel. l. 2, prolog. libri. Retr. 2,12. de consensu Evangelistarum l. 4. Retract. 2,16. Τῷ 401 ἤρξατο καὶ ἀπεπερατώθη τὸ de Gen. ad litteram lib. XII. Retr. II. 24.

(4) Τῷ 395 τὸ de continentia lib. I· τῷ 396 τὸ de agone Christiano· τῷ 400 τὸ de catechizandis rudibus lib. I, de opere monachorum, l. I· τῷ 401 τὸ de bono conjungali lib. I, τὸ de sancta virginitate.

(5) De gest. Pelagion. 22, 27, 28.

(6) Ep. 186 ad Paulin.

θειαν καὶ δὴ καὶ ἐν Συνόδοις. Ὁ Αὐγουστῖνος ἠσχολήθη τῷ 415 καὶ 416 περὶ τὴν ἑρμηνείαν τῆς Ἑπτατεύχου (*quaestiones in Heptateuchum*) καὶ τῆς ἐπιστολῆς τοῦ Ἰωάννου (*in Epistolam Johannis tract.* 10), ἔνθα εἶχεν ὑπ᾽ ὄψει τὰς δοξασίας τοῦ Πελαγίου(1). Τῷ 417 ἔγραψε τὸ βιβλίον *de gestis Pelagii ad Aurelium episcopum* (περὶ τῶν πράξεων τοῦ Πελαγίου πρὸς Αὐρήλιον)(2). Τῷ ἐπιόντι ἔτι ἐγράφη τὸ βιβλίον *de gratia Christi, et peccato originali* (περὶ τῆς χάριτος τοῦ Χριστοῦ, καὶ περὶ τῆς προπατορικῆς ἁμαρτίας) κατὰ Πελαγίου καὶ Καιλεστίου. Πολλοὺς πόνους καὶ θλίψεις ἀπέκειτο τῷ μακαρίῳ Αὐγουστίνῳ ὑποστῆναι ἐν τῇ πάλῃ πρὸς τὸν Πελάγιον, ὃς ὁτὲ μὲν κατεδικάζετο ἐν Ρώμῃ, ὁτὲ δὲ ἠθωοῦτο. Τὰ τελευταῖα αὐτοῦ συγγράμματα, τὰ γραφέντα τῷ 428 *de praedestinatione Sanctorum* (περὶ προορισμοῦ τῶν ἁγίων) καὶ *de dono perseverantiae* (περὶ τοῦ δώρου τῆς καρτερίας), ἀποπνέουσι κατ᾽ ἐξοχὴν πρᾳότητα, καρπὸν πεπειραμένου πνευματικοῦ γήρατος.

Τῷ 430 οἱ Βάνδαλοι, ἐρημώσαντες τὴν Ἀφρικήν, ἐπολιόρκησαν τὴν Ἱππῶνα. Ὁ Αὐγουστῖνος ἐδέετο τοῦ Κυρίου ἢ ἀπαλλάξαι τὴν πόλιν τῶν ἐχθρῶν, ἢ προσλαβέσθαι αὐτὸν ἐκ ταύτης τῆς ζωῆς. Παρῆλθεν ὁ τρίτος τῆς πολιορκίας μήν· ὁ ποιμὴν προσεβλήθη ὑπὸ πυρετοῦ, καὶ τῇ κη´ Αὐγούστου, τὸ ἑβδομηκοστὸν ἕκτον ἔτος ἄγων ὁ

(1) Τῷ 413-414 ἐξεφωνήθησαν οἱ κατὰ τοῦ Πελαγίου λόγοι. Sermon. 170, 174, 293, 294. Ἐγράφησαν αἱ ἐπιστ. 140 ad Honoratium, ep. 157 ad Aisarium (πρβλ. ep. 156). Τῷ 415 ad episc. Eutropium et Paulinum, seu liber de perfectione justitiæ hominis, de natura et gratia, ad Timasium et Jacobum contra Pelagium. lib. I. Πρβλ. ep. 169 § 13, adv. Pelag. haeres.

(2) Πρβλ. ep. 186 *de peccato origin.* c. II. Τῷ 418 ἐγρ. *contra Pelagium et Caelestium* l. II. Τῷ 419 *de nuptiis et concupiscentia ad Valerium comitem* l. 6. 2· *de anima et ejus origine*, lib. 4. Τῷ 420 *contra duas epistolas Pelagionorum ad Bonifatium Papam* lib. 4. Τῷ 421 *contra Julianum* lib. VI. Μετὰ τὴν πρὸς τὸν Σῆξτον ἐπιστολὴν (ep. 194) ἐγράφησαν τῷ 426-427: *de gratia et libero arbitrio* lib. 1, *de corruptione et gratia* lib. 1.

μακάριος(¹), ὁ μέγας διδάσκαλος[*] ἐξεδήμησε πρὸς Κύριον [θ]. Ὁ Ποσσίδιος λέγει: «οὐδεμίαν διαθήκην ἐποιήσατο, διότι οὐδὲν

(¹) Οὕτω καλεῖ τὸν Αὐγουστῖνον ὁ ἅγιος Δημήτριος ὁ Ροστοβίου (Τ. 3. 230). Ὁ Φώτιος καλεῖ αὐτὸν ὁτὲ μὲν μακάριον, ὁτὲ δὲ ἅγιον (ἀναγν. 53. 54). Ἡ μνήμη αὐτοῦ ἑορτάζεται ἐν τῇ Δύσει τῇ κη΄ Αὐγούστου, ἡμέρᾳ τῆς τελευτῆς αὐτοῦ.

[*] Οὕτω καλεῖται ὁ Αὐγουστῖνος ἐν τοῖς πρακτ. τῆς ἑβδόμης Οἰκουμ. Συνόδου. Act. Concil. Bin. T. III. σ. 504. [Ἐκτὸς τῆς ζ΄ Οἰκ. Συνόδου ἀναφέρουσι μαρτυρίας αὐτοῦ δογματικὰς καὶ ἡ Γ΄, ἡ Δ΄ (πρ. 6΄), ἡ Ε΄ (Συν. Τ. 6΄, σελ. 380), καὶ ἡ ς΄ (πρ. 10) Σ. Μ.]. Οἱ διδάσκαλοι τῆς ἑλλην. Ἐκκλησίας ἐχρῶντο τοῖς συγγράμμασιν αὐτοῦ, π. χ. Λέων ὁ Βυζάντιος (περὶ αἱρέσ. σελ. 438 κατὰ Νεστορ. καὶ Εὐτυχ. παρὰ Φαβρικίῳ Bil. Gr. VIII, 318.319), ὁ Θεωριανὸς ἐν τῷ πρὸς τοὺς Ἀρμενίους διαλόγῳ. Τὸ περὶ τῆς ἁγίας Τριάδος σύγγραμμα αὐτοῦ ἐστι γνωστὸν ἐν ἑλλην. μεταφράσει καὶ ἐξεδόθη μετὰ τοῦ διαλόγου τοῦ Θεωριανοῦ ἐν Βασιλείᾳ 1578.

[θ] Κατὰ τὴν τελευταίαν αὐτοῦ ἀσθένειαν διέταξεν, ἵνα μεταγραφῶσι καὶ προσαφθῶσι τῷ παρὰ τὴν κλίνην αὐτοῦ τοίχῳ οἱ ψαλμοὶ τῆς μετανοίας, οὓς ἀνεγίνωσκεν, ἀφθονώτατα χέων δάκρυα. Ὅπως προσεύχηται καὶ στενάζῃ καθ' ἑαυτὸν μετὰ πλείονος ἐλευθερίας, παρεκάλεσε δέκα ἡμέρας πρὸ τοῦ θανάτου αὐτοῦ τοὺς στενωτάτους τῶν φίλων αὐτοῦ καὶ αὐτοὺς τοὺς ἐπισκόπους καταλιπεῖν αὐτὸν μόνον ἐν τῷ θαλάμῳ αὐτοῦ καὶ μηδενὶ ἐπιτρέπειν τὴν εἰς αὐτὸν εἴσοδον, εἰμὴ κατὰ τὰς ὥρας, καθ' ἃς ἐπεσκέπτοντο αὐτὸν οἱ ἰατροί. Ὅτε ἐπέστη ἡ τελευταία ὥρα, ὁ Ποσσίδιος καὶ οἱ ἄλλοι ἐπίσκοποι, ἢ ἱερεῖς, μαθηταὶ αὐτοῦ, περιεκύκλωσαν μετὰ θλίψεως καὶ εὐλαβείας τὴν κλίνην αὐτοῦ καὶ ἥνωσαν τὰς ἑαυτῶν προσευχὰς ταῖς τοῦ θνήσκοντος θείου ἀνδρός. Παυσαμένου τοῦ στόματος αὐτοῦ προσεύχεσθαι, παρέθετο τὴν ψυχὴν αὐτοῦ εἰς χεῖρας τοῦ Κυρίου, ὃν τοσοῦτον ἠγάπησε, καὶ οὗ τὴν Ἐκκλησίαν κατεκόσμησε διὰ τῶν σπανιωτάτων καὶ ἐξοχωτάτων αὐτοῦ ἀρετῶν. Βίκτωρ ὁ Ἰτυαῖος, ὁ συγγράψας τὴν ἱστορίαν τοῦ διωγμοῦ τῶν Βανδάλων, ἐθρήνησεν ἐπὶ τῷ θανάτῳ τοῦ Αὐγουστίνου ὧδε: «Οὕτως ἔστη ὁ ποταμὸς οὗτος τῆς εὐγλωττίας, ὃς ἐφέρετο διὰ πάντων τῶν πεδίων τῆς Ἐκκλησίας· οὕτως ἡ ἡδύτης μετεβλήθη εἰς πικρίαν· οὕτως ἀφῃρέθη ἡ δόξα τῶν ἱερέων, ὁ διδάσκαλος τῶν διδασκάλων, τὸ καταφύγιον τῶν πτωχῶν, τὸ στήριγμα τῶν χηρῶν, ὁ προστάτης τῶν ὀρφανῶν, τὸ φῶς τοῦ κόσμου· οὕτως ἐσίγησεν ὁ μέγας τοῦ θείου λόγου κήρυξ· οὕτως ἔπεσεν ὁ γενναῖος ἀθλητής, ὃς τῷ ξίφει τῆς

εἶχεν ὁ πτωχὸς τοῦ Θεοῦ. Προσέταξεν, ἵνα φυλαχθῶσι μετ᾽ ἐπιμελείας ἡ βιβλιοθήκη τῆς Ἐκκλησίας καὶ ἅπαντα τὰ χειρόγραφα αὐτοῦ χάριν τῶν διαδόχων αὐτοῦ. Πᾶν ὅ,τι ἀνῆκεν εἰς τὴν Ἐκκλησίαν, θησαυρὸς ἢ κοσμήματα, παρακατέθετο χρηστῷ τινι ἱερεῖ, ᾧ ἦν ἐπιτετραμμένη ἡ ἐπιμέλεια τῶν ὑπαρχόντων τοῦ ἐπισκοπικοῦ οἴκου. Περὶ δὲ τῶν ἀναγκῶν τῶν συγγενῶν αὐτοῦ, κληρικῶν τε καὶ λαϊκῶν, οὔτε κατὰ τὴν ζωὴν αὐτοῦ οὔτε κατὰ τὸν θάνατον ἐμερίμνησε».

§. 197. β´) Ἐν τοῖς συγγράμμασιν, ὡς ῥήτωρ καὶ διδάσκαλος τῆς ἠθικῆς.

Ὁ μακάριος Αὐγουστῖνος ἦν εἷς τῶν γονιμωτάτων διδασκάλων τῆς Ἐκκλησίας. Ὁ μαθητὴς καὶ βιογράφος αὐτοῦ Ποσσίδιος ἀναβιβάζει τὸν ἀριθμὸν τῶν συγγραμμάτων αὐτοῦ μέχρι τῶν 1030, συμπεριλαμβανομένων τῶν ἐπιστολῶν, τῶν λόγων καὶ τῶν ἄλλων αὐτοῦ μικρῶν συγγραμμάτων. Αὐτὸς ὁ Αὐγουστῖνος λέγει ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς κριτικῆς ἐξετάσεως ἁπάντων τῶν συγγραμμάτων αὐτοῦ (Retractationes), ὅτι συνέγραψεν 93 συγγράμματα ἐν 232 βιβλίοις. Ὁ θεῖος Πατὴρ παρίσταται ἐν τοῖς συγγράμμασιν αὐτοῦ α´] κῆρυξ καὶ διδάσκαλος τῆς ἠθικῆς, β´] ἑρμηνευτὴς τῆς Γραφῆς, γ´] δογματικὸς καὶ ἀπολογητής. Περὶ τῶν φιλολογικῶν καὶ φιλοσοφικῶν αὐτοῦ συγγραμμάτων οὐ ποιούμεθα λόγον (¹).

διδασκαλίας ἔπληξε τὴν αἵρεσιν, τὸ ἑκατογκέφαλον τοῦτο θηρίον· οὕτως ἀπέθανεν ὁ ἔνδοξος ἀρχιτέκτων, ὃς ἐστήριξε τὸν οἶκον τοῦ Θεοῦ, ἐδίδαξε τοῖς παραδείγμασι τῶν καλῶν αὐτοῦ ἔργων . . . . οὕτως ἔδυσεν ὁ μέγας οὗτος ἥλιος τῆς διδασκαλίας, ἐξηράνθη οὗτος ὁ ποταμὸς τῆς εὐσεβείας, ἀπέθανεν ὁ σπάνιος φοίνιξ τῆς σοφίας, φλεχθεὶς ὑπὸ τοῦ ἱεροῦ πυρὸς τῆς ἀγάπης· οὕτω μετεκομίσθη εἰς οὐρανοὺς ὁ μαργαρίτης τῶν διδασκάλων». Σ. Μ.

(¹) Ἐκδ. S. Augustini ep. Hippon. op. omnia post Lovanienium Theologorum rescens. castig. ad Mss. stud. monachor. ordinis Benedicti (Blampin et Constant) T. XI. Paris. 1687. f. Ἡ ἔκδοσις αὕτη ἀνετυπώθη ἐν Ἀμβέρσῃ καὶ Βενετίᾳ ἐν 18 τόμοις εἰς 4ον. Τῷ 1757-69· Sermones S. Augustini, qui in editione Maurina desiderantur, studio Cailav. Paris. 1842. Op. omnia S. August., editio altera parisina, auct. et emend.

Ὁ Ποσσίδιος γράφει, ὅτι ὁ Αὐγουστῖνος ἐθεώρει τὸ κήρυγμα τοῦ θείου λόγου μέχρι τοῦ τέλους τῆς ζωῆς αὐτοῦ ὡς τὴν ἡδυτάτην καὶ ἁγιωτάτην τῶν ἀσχολιῶν αὐτοῦ, καὶ ὅτι ἐξεφώνει πολλοὺς λόγους καὶ ἐκτὸς τῆς παροικίας αὐτοῦ. Ἐκ τῶν λόγων αὐτοῦ τοῦ ἁγίου ποιμένος γίγνεται δῆλον, ὅτι ἐξεπλήρου τὸ καθῆκον τοῦτο καὶ ὅτε, ἀσθενῶν, μόλις ἠδύνατο ὁμιλεῖν (1). Περὶ πλείστου ἐποιεῖτο τὴν κλῆσιν τοῦ διδασκάλου τῆς Ἐκκλησίας, ὡς δείκνυσι καὶ τὸ λαμπρὸν αὐτοῦ βιβλίον περὶ τοῦ πῶς δεῖ κατηχεῖν τοὺς ἀπαιδεύτους (de catechizandis rudibus) (2). Καὶ μέχρις ἡμῶν διεσώθησαν πολλοὶ αὐτοῦ λόγοι, ἤτοι 183 ὁμιλίαι εἰς μερικὰ ῥητὰ τῆς ἁγίας Γραφῆς, 89 λόγοι εἰς μεγάλας ἑορτάς, 68 εἰς ἑορτὰς ἁγίων, 25 περὶ ἠθικῶν ὑποθέσεων. Ἐπὶ δὲ τούτοις 124 λόγοι αὐτοῦ ἐξεδόθησαν οὐ πρὸ πολλοῦ (3).

Ὡς ἐκκλησιαστικὸς ῥήτωρ ὁ μακ. Αὐγουστῖνος οὐ δύναται παραβληθῆναι πρὸς τοὺς μεγάλους τῆς ἑλλ. Ἐκκλησίας διδασκάλους [ι]· οὐκ ἔχει τὴν ἑλληνικὴν καλλιέπειαν. Ἡ λέξις αὐτοῦ οὐκ ἔστιν ἐπεξ-

Paris. Lips. ap. Voss. 1835. T. 8. f. De civit. Dei ed. stereot. Lips. 1825. Confessiones, Lips. 1823. De spiritu et littera ad Marcellinum, Lips. 1823.

(1) Serm. 42. Tom. V, σ. 210. Hom. L. [Ὁ ζῆλος τοῦ οἴκου τοῦ Κυρίου κατέτρωγε τὴν ψυχὴν τοῦ θείου ἀνδρός. Ὁ ἅγιος αὐτοῦ ζῆλος παρώτρυνεν αὐτὸν μεταβαίνειν, ὅπου ἦν ἀνάγκη πρὸς καταπολέμησιν διὰ τοῦ θείου λόγου τῶν ἐχθρῶν τῆς Ἐκκλησίας αἱρετικῶν, ἐθνικῶν καὶ Ἰουδαίων. Σ. Μ.]

(2) Μετεφρ. ῥωσσιστὶ ἐν τῇ Χρ. Ἀν. [Τὸ βιβλίον τοῦτο ἐγράφη κατὰ παράκλησιν διακόνου τινὸς τῆς Καρχηδόνος. Ὁ ἅγιος Πατὴρ ἠθουλήθη καταστῆσαι δι' αὐτοῦ τοῖς κατηχηταῖς ἀγαπητὸν τὸ ἔργον τοῦ κατηχεῖν. Ἀναπτύσσει δὲ τοῦτο ἄριστα, ἐρειδόμενος ἐπὶ τοῦ παραδείγματος τοῦ Σωτῆρος, ὃς ἐγένετο μικρός, ἵνα λαλήσῃ τοῖς ἀνθρώποις Σ. Μ.].

(3) Βλ. σ. 38. σημ. 1. Οἱ Βενεδικτινοὶ εὗρον 300 λόγους φέροντας τὸ ὄνομα τοῦ Αὐγουστίνου, ἀλλ', ὡς ἀπεδείχθη, οὐκ ἀνήκοντας εἰς αὐτόν.

[ι] «Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος, λέγει ὁ Poujoulat, ἔστι ῥήτωρ πολλῷ μείζων τοῦ Αὐγουστίνου, ὁ ἅγιος Βασίλειος ἔχει μείζονα χάριν καὶ ποίησιν ἐν τῷ λόγῳ, ὁ ἅγιος Γρηγόριος ὁ Ναζιανζηνὸς ἔχει μείζονα αἴγλην, ἀλλ' ὁ ἐπίσκοπος τῆς Ἱππῶνός ἐστι παθητικώτερος καὶ πειστικώτερος τῶν μεγάλων τούτων ἀνδρῶν». Σ. Μ.

ειργασμένη· αἱ ὁμιλίαι αὐτοῦ ὁμοιάζουσι πρὸς διαλόγους. Οἱ χαριεντισμοὶ αὐτοῦ οὐκ εἰσιν ἀείποτε εὔστοχοι· ἀφθονία ὑπάρχει διαλεκτικῆς, ἀλλ᾽ ἡ ἔννοια σπανίως ἄγεται μέχρι τῆς τελευταίας αὐτῆς βάσεως· πολὺ βλάπτει τὴν δύναμιν τοῦ λόγου καὶ ὁ μεταφορικὸς τρόπος, ὃς ἐν τούτοις ἤρεσκε κατὰ τοῦτον τὸν χρόνον. Ἀναμφήριστον, ὅτι ἐστὶν ἐλάσσων τῶν ἑλλήνων ῥητόρων, ἀλλὰ ἐν τοῖς λατίνοις κατέχει τὴν πρώτην θέσιν. Αἱ ὁμιλίαι αὐτοῦ διαπρέπουσι κατ᾽ ἐξοχὴν ἐπὶ ζωηρότητι τόνου, ἐπὶ τῷ πυκνῷ τῶν ἐννοιῶν καὶ τῇ εἰλικρινείᾳ τοῦ αἰσθήματος· ἡ ζωηρότης τοῦ αἰσθήματος καὶ τῆς φαντασίας δηλοῦται ἐν ταῖς ἐρωτήσεσι, ταῖς ἀντιθέσεσι καὶ ταῖς παρονομασίαις· οὐχ ὑποτάσσει τὴν ὑπόθεσιν τῷ τύπῳ· ὡς βάσις χρησιμεύουσιν αὐτῷ αἱ τῆς ἁγίας Γραφῆς ῥήσεις, ἃς οὐ παράγει ἄνευ ἀνάγκης. Ἡ ὑπόθεσις τῶν ὁμιλιῶν αὐτοῦ ἐστιν ὡς τὰ πολλὰ ἠθική. Περὶ πλείστου ποιεῖται, ἵνα ᾖ καταληπτὸς καὶ ὠφέλιμος τῷ ἀκροατῇ. «Μᾶλλον βούλομαι, ἔλεγε, κατακρίνεσθαι ὑπὸ τῶν γραμματικῶν, ἢ μὴ ἐννοεῖσθαι ὑπὸ τοῦ λαοῦ» (¹). Ἡ εὐγλωττία τοῦ Αὐγουστίνου συνεκίνει βαθύτατα τοὺς πιστούς (²) καὶ προὐξένει σωτήρια ἀποτελέσματα (³).

Ἔνια τῶν ἠθικῶν αὐτοῦ συγγραμμάτων εἰσὶν ἐξαίρετα. Τοιαῦτά

(¹) Enarrat. in Psalm. 158.

(²) De doctr. Christ. l. IV, c. 24.

(³) Ἀπόδειξις τούτου πρὸς τοῖς ἄλλοις ἡ αἰφνίδιος ἐπιστροφὴ τοῦ Μανιχαίου Φίρμου, ἡ κατάπαυσις τοῦ ἔθους, ὅπερ εἶχεν ὁ λαὸς τοῦ τελεῖν ἐπὶ τῶν τάφων τῶν μαρτύρων συμπόσια, καθ᾽ ἃ οὐ μετρία χρῆσις οἴνου ἐγίγνετο, καὶ ἡ κατάπαυσις τῆς παιδιᾶς τοῦ λαοῦ τοῦ ῥίπτειν ἐπ᾽ ἀλλήλους λίθους. [Ἀναγινώσκοντες, λέγει ὁ Poujoulat, τοὺς λόγους ἢ τὰς ὁμιλίας τοῦ μεγάλου ἐπισκόπου, οὐδέποτε ἐννοήσομεν τὰ θαυμαστὰ αὐτῶν ἀποτελέσματα, ἐὰν χωρίσωμεν αὐτὰ τοῦ τόνου καὶ τῶν δακρύων τοῦ Αὐγουστίνου. Οὐδέποπε ἐγένετο παθητικωτέρα ψυχὴ καὶ οὐδεὶς κάλλιον αὐτοῦ διέγνω τὴν ἀνθρωπίνην καρδίαν. Εἰ ἅπασα ἡ ῥητορικὴ τέχνη συνίσταται εἰς τὸ διδάσκειν καὶ συγκινεῖν, οὗτος κατεῖχε τὴν τέχνην ταύτην, εἴπερ τις καὶ ἄλλος εἰς ὑπέρτατον βαθμόν· διότι ἡ γλῶσσα αὐτοῦ ἦν ἀείποτε εὐσταθής, καὶ ὁ Θεὸς ἔθηκεν ἐπὶ τῶν χειλέων αὐτοῦ πειστικὴν χάριν, ᾗ οὐδὲν ἀνθίστατο. Ὁ ἦχος τῆς φωνῆς τοῦ Αὐγουστίνου, τὰ καταρρέοντα ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ δάκρυα, οἱ θησαυροὶ τῆς ἀγάπης καὶ τῆς συμπαθείας αὐτοῦ κατέκλων καὶ ἐχειροῦντο τοὺς παρόντας. Τὰ δάκρυα, ἃ ὁ μέγας ἀνὴρ καλεῖ αἷμα τῆς καρδίας, εἶχον περιπαθεστάτην εὐγλωττίαν». Σ. Μ.].

εἰσι α΄] αἱ Ἐξομολογήσεις (Confessiones) αὐτοῦ (ἐν 13 βιβλίοις), δυνάμεναι καταπλῆξαι τὸν ἀναγινώσκοντα αὐτὰς τῇ εἰλικρινείᾳ τῆς συντριβῆς καὶ θερμᾶναι αὐτὸν τῇ ἀναγκαιοτάτῃ εἰς τὰς ὁδοὺς τῆς σωτηρίας θερμότητι τῆς εὐσεβείας. Ἐν τοῖς πρώτοις 9 βιβλίοις διηγεῖται μετὰ βαθυτάτης κατανύξεως τὰς ἁμαρτίας τῆς νεότητος αὐτοῦ· ἐν δὲ τῷ 10ῳ δείκνυσι τὰς ἐν αὐτῷ οὔσας ἔτι ἐλλείψεις, ὅπως προτρέψῃ τοὺς ἄλλους προσεύχεσθαι ὑπὲρ αὐτοῦ. Ἐν δὲ τοῖς τελευταίοις τρισὶν ἐκτίθησι τὴν πρὸς τὴν ἁγίαν Γραφὴν ἀγάπην αὐτοῦ καὶ λύει τὰς περὶ τῆς δημιουργίας τοῦ κόσμου ἀπορίας. «Οἱ ἔπαινοι τούτου τοῦ κόσμου, ἔγραφε πρὸς τὸν κόμητα Δάριον πέμπων αὐτῷ τοῦτο τὸ σύγγραμμά, εἰσι πολλῷ ἐπικινδυνότεροι τῶν διωγμῶν. Ἴδε ἐν τούτῳ τῷ βιβλίῳ, οἷός εἰμι. Ὀφείλεις πιστεύειν ἐμοὶ περὶ ἐμοῦ μαρτυροῦντι, καὶ μὴ ἀκούειν τὰ ὑπὸ τῶν ἄλλων λεγόμενα. . . Δόξασον μετ' ἐμοῦ τὸν ἀγαθὸν Θεὸν ἐπὶ τῇ μεγάλῃ Αὐτοῦ πρὸς ἐμὲ εὐσπλαγχνίᾳ, καὶ δέου Αὐτοῦ περᾶναι ἐν ἐμοὶ ἐκεῖνο, οὗ ἤρξατο, καὶ μὴ παραχωρῆσαι, ἵνα πέσω εἰς διαφθοράν» (¹). Ἐν τῷ αὐτῷ συγγράμματι ἐκτίθησιν ὁ μακάριος ὑψηλὰς μελέτας περὶ τῆς μεγαλειότητος καὶ ἀγαθότητος τοῦ Θεοῦ, περὶ τῆς ματαιότητος τοῦ κόσμου, περὶ τῆς ἀθλιότητος τῶν ἁμαρτωλῶν, περὶ τῆς ἀνάγκης καὶ τῶν μέτρων τῆς ἐν εὐσεβείᾳ προκοπῆς [κ]. β΄] Αἱ Μονολογίαι

(¹) Βλ. καὶ Retract. l. II. c. 6.

[κ] Τὸ τελευταῖον τρίτον μέρος τοῦ συγγράμματος τούτου, λέγει ὁ Poujoulat, εἰ μὴ ὑπερβαίνει, ἐξισοῦται, πρὸς πᾶν ὅ,τι ὑψηλὸν καὶ βαθὺ ἐγέννησεν ἡ φιλοσοφία. Οὐδέποτε τὸ ἄπειρον τοῦ Θεοῦ καὶ αἱ ἄβυσσοι τοῦ ἀνθρώπου ἠρευνήθησαν μετὰ μείζονος ἀγχινοίας καὶ δυνάμεως, καὶ ἡ διαφανὴς καλλονὴ τῆς γλώσσης ἐστὶν ἀείποτε ἀξία τοῦ ὕψους τῶν ἐννοιῶν. Ἡ πτῆσις τοῦ ἀετοῦ τῆς Ἀφρικῆς γίγνεται ἔσθ' ὅτε τοσοῦτον τολμηρά, ὥστε οὐκ ἀκολουθοῦμεν πλέον αὐτῷ, ἢ μετά τινος εἴδους ἐκπλήξεως· ἄγει ἡμᾶς εἰς ὕψη, ὧν ἐνώπιον ἐκπληττόμεθα ὡσεὶ προσεγγίζοντες τῇ μεγαλειότητι τοῦ Θεοῦ. Τὸ βιβλίον τῶν Ἐξομολογήσεων γραφὲν ἐν Ἀφρικῇ κατὰ τὴν τελευταίαν αἴγλην τοῦ ρωμαϊκοῦ πολιτισμοῦ, διεγείρει τὸν θαυμασμὸν παντὸς ἀναγινώσκοντος αὐτό. Ἔστι συνάμα ὡραῖον ποίημα, ὡραία ἱστορία, ὡραία φιλοσοφικὴ πραγματεία. Πεπείσμεθα, ὅτι ἄνθρωπος ἀληθῶς νουνεχής, οἷος δήποτε καὶ ἂν ᾖ, μόνον εἴ ἐστιν εἰλικρινής, οὐ δύναται μὴ γενέσθαι χριστιανὸς ἀναγνοὺς καὶ μελετήσας μετὰ τῆς προσηκούσης προσοχῆς τὸ βι-

(Soliloquia) αὐτοῦ [λ]· γ'] τὸ σύγγραμμα περὶ τῶν ἠθῶν τῆς καθολικῆς Ἐκκλησίας (de moribus ecclesiæ), ὅπερ ἐστὶ σύν-

---

6λίον τοῦτο. «Τὸ βιβλίον τοῦτο, λέγει καὶ ὁ διάσημος φιλόσοφος Paul Janet, οὐκ ἔστι μόνον βιβλίον εὐσεβείας διὰ τὰς εὐσεβεῖς ψυχάς, βιβλίον ὡραίων εἰκόνων καὶ ὡραίων διηγήσεων διὰ τοὺς πεπαιδευμένους· ἀλλ' ἐστὶ καὶ βιβλ. ἠθικῆς διδασκαλίας δι' ἅπαντας τοὺς ἀνθρώπους». Σ. Μ.

[λ] Τὸ σύγγραμμα τοῦτο τάσσεται ἐν τοῖς φιλοσοφικοῖς συγγράμμασι τοῦ θείου Πατρὸς ὑπὸ τοῦ Fessler τοῦ Alzog καὶ ἄλλων, εἰ καὶ περιέχει πλεῖστα ὅσα ἀφορῶντα εἰς τὴν χριστιανικὴν τελειότητα. Περὶ αὐτοῦ λέγει αὐτὸς ὁ Αὐγουστῖνος ἐν τῇ κριτικῇ ἐξετάσει τῶν συγγραμμάτων αὐτοῦ (Retractationes) τάδε: «Κατὰ τοῦτον τὸν χρόνον ἔγραψα δύο βιβλία κατὰ τὴν ἐμὴν ἔφεσιν καὶ τὴν ἐμὴν καρδίαν, ὅπως ἐξετάσω τὴν ἀλήθειαν ἐν τοῖς πράγμασιν, ἃ ἐπόθουν γνῶναι, ἐρωτῶν ἐμαυτὸν καὶ ἀποκρινόμενος ἐμαυτῷ, ὡσεὶ ἦμεν δύο, ὁ λόγος καὶ ἐγώ, εἰ καὶ ἤμην μόνος. Ἐντεῦθεν τὸ ὄνομα Μονολογίαι ἐδόθη τῷ συγγράμματι τούτῳ». Τὸ πόνημα τοῦτο ἔμεινεν ἀτελές, καταδείκνυσι δὲ τὴν φιλοσοφικὴν μεγαλοφυΐαν τοῦ Αὐγουστίνου. Οὐκ ἔστι μακρόν, ἀλλ' ἔστι πλῆρες ὑψηλῶν ἐννοιῶν. Τοῦτο ἤρκει ἂν τάξαι αὐτὸν ἐν τοῖς μεγίστοις τῶν μεταφυσικῶν. Ἡ δὲ προτασσομένη προσευχὴ πληροῖ τὴν ψυχὴν γαληνιαίου ἐνθουσιασμοῦ. Αὐτὸς ὁ λόγος λέγει αὐτῷ προσεύξασθαι τῷ Θεῷ τῆς ἀληθείας, τῷ Θεῷ τῆς σοφίας, τῷ Πατρὶ τῆς μακαριότητος, τοῦ ἀγαθοῦ, τοῦ ὡραίου καὶ τοῦ νοητοῦ φωτός. Ἐπιτελεῖ τοῦτο μετὰ πεποιθήσεως καὶ γαλήνης. «Δέξαι, λέγει, τὸν φυγάδα Σου, πολυεύσπλαγχνε Θεέ. . . ἐγενόμην δοῦλος τῶν ἐχθρῶν, οὓς ἐνίκησας, καὶ παίγνιον τῶν ἀπατῶν τοῦ κόσμου. Δέξαι τὸν δοῦλόν Σου πόρρω αὐτῶν πρὸς Σὲ φεύγοντα, ὡς αὗται ἐδέχθησάν με, ὅτε ἔφευγον ἀπὸ Σοῦ. Μόνον τὴν θέλησιν ἔχω. Οὐδὲ ἄλλο γιγνώσκω, εἰμὴ ὅτι ὀφείλω καταφρονῆσαι τῶν φθαρτῶν καὶ προσκαίρων, καὶ αἰτήσασθαι τὰ αἰώνια ἀγαθά. Τοῦτο ποιῶ, Πάτερ, διότι τοῦτο μόνον ἔγνων, ἀλλ' ἀγνοῶ ὁπόθεν δύναταί τις ἐλθεῖν πρὸς Σέ. Φώτισόν με, κατεύθυνόν με, στήριξόν με. Εἰ διὰ τῆς πίστεως δύναμαι εὑρεῖν Σε, δός μοι αὐτήν· εἰ διὰ τῆς ἀρετῆς, δός μοι αὐτήν, εἰ διὰ τῆς ἐπιστήμης, δός μοι αὐτήν». Μετὰ ταύτην τὴν προσευχὴν ἄρχεται τοῦ πρὸς τὸν Λόγον διαλόγου: «Ἐδεήθην, λέγει, τοῦ Κυρίου». «Τί οὖν βούλει μαθεῖν», ἀποκρίνεται ὁ λόγος, ὡς εἰ διὰ τὴν εὐγενῆ ταύτην φύσιν ἠκούσθη, ὅτι ἡ ἐπιστήμη ἐστὶν ἓν τῶν μεγίστων δώρων, ἅτινα δύναται ἡ προσευχὴ ζητῆσαι. «Ἐφίεμαι γνῶναι τὸν Θεὸν καὶ τὴν ψυχήν.—Οὐδὲν πλέον βού-

τομος ἔκθεσις τῆς ἠθικῆς διδασκαλίας· δ΄] τὸ περὶ οὐσίας τῆς ἀγάπης (de substatia dilectionis)· ε΄] τὸ περὶ χριστιανικοῦ βίου (de vita christiana), ἢ περὶ τοῦ οἷον δεῖ εἶναι τὸν βίον τοῦ χριστιανοῦ· ς΄] τὸ κάτοπτρον (speculum), συλλογὴ ἠθικῶν ρήσεων τῆς ἁγίας Γραφῆς· ζ΄] τὸ περὶ τῆς ἁγίας παρθενίας (de sancta virginitate)· η΄] τὸ περὶ ἀγαθοῦ τῆς χηρείας (de bono viduitatis)· θ΄] τὸ περὶ ἐγκρατείας (de continentia)· ι΄] τὸ περὶ τοῦ ἀγαθοῦ τοῦ ἐγγάμου βίου (de bono conjugali)· ια΄] τὸ περὶ τοῦ ὠφελίμου τῆς νηστείας (de utilitate jejunii), ιϐ΄] τὸ περὶ ὑπομονῆς (de patientia), ιγ΄] τὸ περὶ ψεύδους (de mendacia), ιδ΄] τὸ περὶ πίστεως καὶ ἔργων (de fide et operibus), ἢ περὶ τοῦ ὅτι ἡ πίστις οὐκ ὀφείλει εἶναι ἄνευ τῶν ἔργων· ιε΄] τὸ περὶ τοῦ ἔργου τῶν μοναχῶν (de opere monachorum), ἐν ᾧ κατακρίνει τοὺς μοναχοὺς τοὺς ἀρνουμένους ἀσχολεῖσθαι περὶ τοὺς σωματικοὺς κόπους [*]· ις΄] τὸ περὶ τῆς μερίμνης περὶ τῶν τεθνεώτων (de cura mortuorum). Εν τῷ συγγράμματι τούτῳ ἀποκρίνεται ὁ Αὐγουστῖνος εἰς τὴν ἐρώτησιν: ὠφέλιμον τῷ θανόντι, εἰ τὸ σῶμα αὐτοῦ ἐνεταφιάσθη παρὰ τὸν τάφον μάρτυρος; Ἡ εὐσεϐής, λέγει, περὶ τῶν τεθνεώτων μέριμνά ἐστιν αὐτοῖς ὠφέλιμος κατὰ τὸ μέτρον τῆς πρὸς τὸ ἀγαθὸν ἰδίας αὐτῶν ἀγάπης· αἱ ὑπὲρ αὐτῶν προσευχαὶ τῆς Ἐκκλησίας εἰσὶν ἀναμφηρίστως ὠφέλιμοι, ὡς δείκνυσιν ἡ πεῖρα τῆς Ἐκκλησίας. Αἱ προσευχαὶ τῶν ἁγίων εἰσὶ σωτήριοι καὶ ἐκείνοις ἡμῶν, οἵτινες οὔπω ἠξιώθησαν τῆς πρὸς τὸν Χριστὸν εἰλικρινοῦς ἀγάπης. Πολλοὶ τῶν λόγων αὐτοῦ ἔχουσιν ἠθικὴν ὑπόθεσιν. Πολλαὶ τῶν ἐπιστολῶν αὐτοῦ ἀποπνέουσι βαθὺ χριστιανικὸν αἴσθημα (1). Ἐκεῖ τε

λει ;—Οὐδέν. Ἴθι δή, αἴτησαι, ἀλλ' εἰπὲ πρῶτον, ἐὰν γένηται τοῦτο, δυνήσῃ εἰπεῖν: ἀρκεῖ». Ὁ διάλογος παρατείνεται μετὰ θαυμασιοτάτης τέχνης. Περὶ τοῦ πολυτιμοτάτου τούτου συγγράμματος ϐλ. Villemain Tableau de l' éloquence chrétienne au IVe siécle σ. 402-405. Σ. Μ.

[*] «Οὐχ εὗρον, λέγει ἐν αὐτῷ ὁ θεῖος Πατήρ, ἀνθρώπους κρείττονας τῶν ἐν ταῖς καλαῖς μοναῖς καλῶν μοναχῶν καὶ οὐκ εἶδον χείρονας τῶν κακῶν μοναχῶν». Σ. Μ.

(1) Ἠθικὴν ὡσαύτως ὑπόθεσιν καὶ ἐξαιρέτους διδασκαλίας ἔχουσιν αἱ ἐπιστ. 26, 95, 32, 99, 111, 120,

καὶ ἐνταῦθα ἔγραψε περὶ τοῦ ἀναγκαίου τῶν προσευχῶν ὑπὲρ τῶν κεκοιμημένων(¹), καὶ περὶ τῆς ἀνάγκης τῶν προσευχῶν πρὸς τοὺς ἁγίους(²), ἐπίσης περὶ τῆς τῶν ἁγίων εἰκόνων καὶ τῶν ἁγίων λειψάνων τιμῆς, καὶ τῶν ὑπ' αὐτῶν τελουμένων θαυμάτων(³).

§. 198. γ΄) Ὡς ἑρμηνευτὴς τῆς ἁγίας Γραφῆς.

Ἡ χριστιανικὴ διδασκαλία (De doctrina christiana) ἐστὶ τὸ ἄριστον καὶ ὠφελιμώτατον τῶν εἰς τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς ἀναφερομένων συγγραμμάτων τοῦ Αὐγουστίνου. Τοῦτό ἐστι τὸ πρῶτον μέν, ἀλλ' ἔξοχον δοκίμιον ἱερᾶς ἑρμηνευτικῆς, ἢ ἐγχειρίδιον περὶ τοῦ πῶς δεῖ ἑρμηνεύειν τὰς θείας Γραφὰς καὶ ἐκτιθέναι τὴν ἑρμηνείαν ἐν ταῖς ἐκκλησιαστικαῖς διδασκαλίαις. Μετὰ τὸ προοίμιον, τὸ πρῶτον βιβλίον πραγματεύεται περὶ τῆς ὑποθέσεως καὶ τοῦ κυρίου σκοποῦ τῆς ἁγίας Γραφῆς [ν]. Τὸ δεύτερον βιβλίον περὶ τῶν σημείων καὶ τῆς γλώσσης, περὶ τῶν ἰδιοτήτων, ἃς ὀφείλει ἔχειν ὁ ἑρμηνευτὴς αὐτῆς[ξ], περὶ τῶν κωλυμάτων καὶ τῶν βοηθημά-

---

122, 126, 127, 130, 131, 153, 155, 167, 189, 192, 203, 204, 210, 240, 244, 248, 264, 268, ed. Bened. Epist. de vitiis. Ἐν τῇ αὐτῇ ἐκδόσει ἐξαίρετοί εἰσιν αἱ ἐπιστολαὶ αἱ καλούμεναι: Consolatoriæ et objurgatoriæ. Περὶ τῆς ἠθικῆς διδασκαλίας τοῦ Αὐγουστίνου βλ. Stäudlin, Geschichte der Sittenlehre Jesu. 3. 18. σ. 120--161. Göttingen, 1819.

(¹) Serm. 172. Enarrat. in Psal. 37. n. 3. Enchirid. 99.110.

(²) Ep. 84. Enarrat. in. Psal. 85. n. 24.

(³) Serm. 316. n. 5. 88. c. 3. Lib. I. de cons. Evang. c. 10,11. Lib. XXII contr. Faust. c. 73.

[ν] «Ὁ γινώσκων, λέγει ὁ θεῖος Πατὴρ ἐν τῷ βιβλίῳ τούτῳ, ὅτι ἡ ἀγάπη, ἥτις προέρχεται ἐκ καθαρᾶς καρδίας, ἐξ ἀγαθῆς συνειδήσεως, καὶ ἐξ εἰλικρινοῦς πίστεως, ἐστὶν ὁ σκοπὸς τοῦ νόμου, καὶ ἀναφέρων εἰς τὰ τρία ταῦτα τὸν νοῦν τῆς Γραφῆς, δύναται ἀνοίγειν μετὰ θάρρους τὰς θείας βίβλους καὶ ἀναγινώσκειν αὐτάς». Σ.Μ.

[ξ] Πρὸς κατάληψιν, λέγει ὁ μακάριος Διδάσκαλος, τῆς ἐν τῇ ἁγίᾳ Γραφῇ τελείας σοφίας ἀναγκαῖά εἰσιν ὁ φόβος τοῦ Θεοῦ, ἡ εὐσέβεια, ἡ ἐπιστήμη καὶ ἡ καθαριότης τῆς καρδίας. Ἐν τῷ βιβλίῳ τούτῳ ἀποφαίνεται προτιμητέαν ἁπασῶν τῶν τότε φερομένων λατινικῶν μεταφράσεων τὴν Ἰτάλαν, καὶ διατάσσει διορθοῦν

των πρὸς ἑρμηνείαν αὐτῆς. Τὸ τρίτον βιβλίον περὶ τῶν ἀμφιλογιῶν καὶ τῆς ἀσαφείας χωρίων τινῶν αὐτῆς, περὶ τῆς κυρίας καὶ ἀλληγορικῆς ἐννοίας, περὶ τῶν βοηθημάτων πρὸς κατάληψιν ἀμφοτέρων, καὶ περὶ τῶν κανόνων τοῦ Τιχονίου [ο]. Τὸ τέταρτον βιβλίον περιέχει διδασκαλίας τῷ ἐκκλησιαστικῷ ῥήτορι. Τὸ σύγγραμμα τοῦτο συνετάχθη μετ᾽ ἄκρας ἀκριβείας καί ἐστι πλῆρες λαμπρῶν ἐννοιῶν (1).

Ὁ Αὐγουστῖνος προὔθηκε ἐν τῇ Χριστιανικῇ διδασκαλίᾳ ἐξαιρέτους μὲν περὶ ἑρμηνείας κανόνας, ἀλλ᾽ ἀδύνατον καλέσαι ἐξαιρέτους καὶ τὰς ἑρμηνείας αὐτοῦ. Καί τοι οὐχ᾽ ἅπαξ ἔγραψεν ὑπομνήματα εἰς ἔνια τῶν βιβλίων τῆς Παλαιᾶς Διαθήκης, π. χ. εἰς τὴν Γένεσιν (2), ὅμως ταῦτα οὐ πολλὴν δύνανται παρασχεῖν ὠφέλειαν τῷ ἑρμηνευτῇ αὐτῆς. Τούτου δ᾽ αἴτιον, ὅτι ἠγνόει τέλεον τὴν λίαν ἀναγκαίαν τῷ ἑρμηνευτῇ τῆς Παλαιᾶς Διαθήκης ἑβραϊκὴν γλῶσσαν (3), καὶ ὅτι οὐκ ἦν, ὡς ἔδει, εἰδήμων καὶ τῆς ἑλληνικῆς (4). Ἐντεῦθεν ἄφευκτα ἦσαν τὰ σφάλματα ἐν τῷ ὁρισμῷ τῆς σημασίας τῶν λέξεων καὶ τῶν ἐκφράσεων. Τὰ σφάλματα ταῦτα ἠδύναντο ἂν εἶναι ἐλάσσω, εἰ ἐγίνωσκε τὸν τῆς ἁγ. Γραφῆς τρόπον τοῦ ἐκφράζε-

---

τὰς ἐν αὐταῖς διαφορὰς πρὸς τὴν ἔχουσαν τὸ κῦρος ἑρμηνείαν τῶν Ο΄, διότι λέγει: Οὗτοι (οἱ Ο΄), ὡς ὁμολογεῖται ἐν ἁπάσαις ταῖς σοφωτέραις ἐκκλησίαις μεθηρμήνευον τοιαύτῃ περιουσίᾳ Πνεύματος ἁγίου, ὥστε τοσούτων ἀνθρώπων τὰ στόματα συνεφώνησαν εἰς ἓν στόμα». Βλ. Οἰκον. Περὶ τῶν Ο΄ ἑρμην. Τ. Δ΄ σελ. 609. Σ. Μ.

[ο] Ὁ Τιχόνιος, τὸ γένος Ἄφρος, Δονατιστής, ἤκμασε περὶ τὸ τέλος τοῦ τετάρτου αἰῶνος. Ἦν τὰ μάλιστα δεινὸς περὶ τὴν ἱερὰν φιλολογίαν, τὴν ἐκκλησιαστικὴν ἱστορίαν, καὶ τὴν θύραθεν σοφίαν. Συνέγραψε: de bello intestino libros tres; expositiones diversarum causarum; Commentarium in Apocalypsin Johannis; Regulas VII ad investigandam et inveniendam intelligentiam Sanctarum Scripturarum. Σ. Μ.

(1) Μετεφρ. ῥωσσιστὶ ἐν Κιέβῳ τῷ 1835.

(2) Liber imperfectus de Genesi ad literam. lib. XII.

(3) Si hebraea voce loqueretur (Moyses) frustra pulsaret sensum meum, nec inde mentem meam quidquam tangeret (Confession. Lib. XI c. 3). Ἐν τῇ Χριστιανικῇ διδασκαλίᾳ καλεῖ τὴν ἑβραϊκὴν γλῶσσαν ἄγνωστον.

(4) Βλ. Confession. lib. I, 13. 14. VII, 13.

σθαι καὶ εἰ μὴ ἐκυρίευτο ὑπὸ τοῦ πρὸς τὴν ἀλληγορικὴν ἑρμηνείαν πάθους. Τὸ τελευταῖον ὁρᾶται κατ᾽ ἐξοχὴν ἐν τῇ μακρᾷ αὐτοῦ εἰς τοὺς ψαλμοὺς ἑρμηνείᾳ[π]. Ἐν ταῖς ἐρωτήσεσιν εἰς τὴν Ἑπτάτευχον (Quaestionum in Heptateuchum lib. VII.) διασαφηνίζονται τὰ ἐν τοῖς βιβλίοις τοῦ Μωϋσέως, Ἰησοῦ τοῦ Ναυῆ καὶ τῶν Κριτῶν δύσκολα χωρία. Ἐν τοῖς ἑπτὰ βιβλίοις τῶν ἰδιωτισμῶν (locutionum lib. VII) ἑρμηνεύει ὁ θεῖος Πατὴρ τοὺς ἐν τῇ Ἑπτατεύχῳ ἰδιωτισμούς, οἵτινες ἀφίσταντο τῆς γλώσσης τοῦ χρόνου αὐτοῦ καὶ τοῦ ἑλληνικοῦ καὶ ἑβραϊκοῦ κειμένου [ρ]. Τὸ βιβλίον τῶν σημειώσεων εἰς τὸν Ἰώβ (Annotationum in Jobum lib. I.) ἐστὶ συλλογὴ σημειώσεων, διαφθαρεισῶν ὑπὸ τῶν ἀντιγραφέων [1].

Τὰ εἰς τὴν Καινὴν Διαθήκην ἑρμηνευτικὰ συγγράμματα τοῦ Αὐγουστίνου εἰσὶ τάδε:

α΄.] Περὶ τῆς συμφωνίας τῶν Εὐαγγελιστῶν βιβλία τέσσαρα (De consensu Evangelistarum lib. VII). Ἐν τῷ

[π] Ὁ Κασσιόδωρος λέγει ἐν τῷ προλόγῳ τῶν εἰς τοὺς ψαλμοὺς ὑπομνημάτων αὐτοῦ, ὅτι κατέφυγε πολλάκις πρὸς τὸν Αὐγουστῖνον ἵνα λύσῃ τὰς ἀπορίας αὐτοῦ, καὶ ὅτι ἤντλησε ρύακάς τινας ἐκ τῆς θαλάσσης ταύτης τῆς ἐπιστήμης καὶ τῆς παιδείας. Ὁ Πετράρχης ἔγραψε πρὸς τὸν Βοκκάκιον ἀποστείλαντα αὐτῷ τὴν εἰς τοὺς ψαλμοὺς ἑρμηνείαν τοῦ Αὐγουστίνου: «Εἰς τὸ λοιπὸν ἔσομαι πλέων μετὰ μείζονος ἀσφαλείας τὴν θάλασσαν τοῦ Δαυίδ, καὶ ἐκφεύγων τοὺς σκοπέλους· οὔτε τὰ κύματα τῶν ἐκφράσεων, οὔτε αἱ συρράξεις τῶν φράσεων ἔσονται ἐκπλήττοντά με». (epist. variar. XXII). Σ. Μ.

[ρ] Ὁ Κασσιόδωρος ποιεῖται μετὰ θαυμασμοῦ λόγον περὶ τῶν βιβλίων τούτων. «Ὁ ἅγιος Αὐγουστῖνος, λέγει, καταδείκνυσιν ἐν αὐτοῖς, ὅτι ἅπαντα τοῦ λόγου τὰ σχήματα, ἅτινα οἱ γραμματικοὶ καὶ οἱ ῥήτορες δι᾽ ἐπαίνων ἄγουσιν, ἔχουσι τὴν ἀρχὴν αὐτῶν ἐν τῇ Γραφῇ, διατηρησάσῃ καλλονάς, ἃς οὐδεὶς τῶν σοφῶν τοῦ αἰῶνος ἠδυνήθη μιμήσασθαι· Τὰ βιβλία ταῦτα χρησιμεύουσιν ἐπ᾽ ἴσης εἰς τὸ κωλύειν ἡμᾶς τοῦ τολμᾶν διορθοῦν, ὡς λάθη ἀντιγραφέων, ἐκφράσεις ὑπὸ τῆς ἁγίας τῶν Γραφῶν αὐθεντίας βεβαιωθείσας». Instit. l. I. Σ. Μ.

[1] Βλ. σ. 35. σημ. 3. [Αἱ σημειώσεις αὗται εἰσιν εἶδος παραφράσεως ἢ κατὰ γράμμα ἐξηγήσεως τοῦ βιβλίου τοῦ Ἰώβ, ὅπερ πολλαχοῦ διασαφεῖ ὁ θεῖος Πατήρ. Εἰς τὰ τρία τελευταῖα κεφάλαια οὐκ ἐποιήσατο σημειώσεις ὁ θεσπέσιος Πατήρ. Σ. Μ.]

πρώτῳ βιβλίῳ ὁ Αὐγουστῖνος ποιησάμενος λόγον περὶ τῆς αὐθεντίας τῶν Εὐαγγελίων, τοῦ ἀριθμοῦ καὶ τῆς τάξεως, τοῦ λεκτικοῦ καὶ τοῦ σκοποῦ αὐτῶν (n. 1-9), ἀνασκευάζει τοὺς πολεμοῦντας ὅτι τὰ Εὐαγγέλια οὐκ ἐγράφησαν ὑπ᾽ αὐτοῦ τοῦ Χριστοῦ, ἀνδρὸς σοφωτάτου (n. 11-13. 52-54), ἀλλ᾽ ὑπὸ τῶν μαθητῶν Αὐτοῦ, οἵτινες παρὰ τὴν διδασκαλίαν τοῦ Χριστοῦ καὶ τὸν διδάσκαλον αὐτῶν ὡς Θεὸν πανταχοῦ ἐκήρυξαν καὶ τὴν λατρείαν τῶν θεῶν ἀπηγόρευσαν (n. 14-50), ἐξ οὗ προῆλθον ἅπαντα τὰ δεινά, ἅτινα ἐμάστιζον τὴν ρωμαϊκὴν αὐτοκρατορίαν (n. 51). Ἐν τῷ δευτέρῳ βιβλίῳ ἐξετάζει τὸ κείμενον τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου ἀπὸ τῆς ἀρχῆς μέχρι τοῦ εἰκοστοῦ ἕκτου κεφαλαίου, ἔνθα γίγνεται λόγος περὶ τοῦ μυστικοῦ δείπνου, ὃν ἐποιήσατο ὁ Ἰησοῦς Χριστὸς μετὰ τῶν μαθητῶν Αὐτοῦ, καί, παραβάλλων πρὸς αὐτὸ τὰ ἄλλα τρία Εὐαγγέλια καταδείκνυσιν, ὅτι εἰσὶν ἐν πᾶσι σύμφωνα. Ἐν τῷ τρίτῳ βιβλίῳ γίγνεται ἐπ᾽ ἴσης λόγος περὶ τῆς συμφωνίας τῶν αὐτῶν τεσσάρων Εὐαγγελιστῶν ἀπὸ τῆς περὶ τοῦ μυστικοῦ δείπνου διηγήσεως μέχρι τοῦ τέλους τοῦ αὐτοῦ Εὐαγγελίου. Ἐν τῷ τετάρτῳ βιβλίῳ ἐκτίθενται, ἅ εἰσιν ἴδια ἑκάστῳ τῶν Εὐαγγελιστῶν καὶ συμβιβάζονται αἱ ἐν αὐτοῖς ἐσθ᾽ ὅτε φαινόμεναι ἀντιφάσεις [σ].

ϐ΄.] Ἐρωτήσεων Εὐαγγελικῶν βιβλία δύο (quaestionum Evangelicarum libri duo). Τὰ βιβλία ταῦτα περιέχουσιν ἐξηγήσεις, μυστικὰς ὡς ἐπὶ τὸ πολὺ καὶ ἠθικὰς 98 χωρίων τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου καὶ τοῦ κατὰ Λουκᾶν [τ].

[σ] Ἀρίστη ἡ περὶ τῶν βιβλίων τούτων πραγματεία τοῦ Clausen, ἣν ἐπέγραψεν: *Aurelius Augustinus Hippon. S. Scripturae interpres* (Havniæ 1827). Περὶ τῆς αὐτῆς ὑποθέσεως πραγματεύεται ὁ μακάριος Αὐγουστῖνος ἐν τῷ ν΄ αὐτοῦ λόγῳ. De concordia Evangel. Mathaei et Lucæ in generationibus Domini. Πρβλ. καὶ τὸν 240 λόγον. Σ. Μ.

[τ] Ἐν τοῖς εἰς τὴν Κ. Δ. ἑρμηνευτ. συγγράμμασι τοῦ ἁγίου Αὐγουστίνου τάσσεται καὶ τό: Quaestionum 17 in Evangelium secundum Mathaeum, ἀλλ᾽ ὑπὸ πολλῶν κριτικῶν θεωρεῖται νόθον. Πρβλ. Maurin. Admonit. Tillemont 1. c. Art. CCCIV. (p. 951); Ceillier Tom. IX. p. 220. Σ. Μ.

γ'.] Περὶ τῆς ἐπὶ τοῦ ὄρους ὁμιλίας τοῦ Κυρίου κατὰ Ματθαῖον βιβλία δύο (de Sermone Domini in monte secundum Mathaeum). Ἐν τοῖς δυσὶ τούτοις βιβλίοις ἀναπτύσσεται ὡς ἄριστα ἅπασα αὕτη ἡ ὁμιλία τοῦ Κυρίου [υ].

δ'.] Πραγματεῖαι 124 εἰς τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου (tractatus 124 in Johannis Evangelium), καὶ

ε'.] Πραγματεῖαι 10 εἰς τὴν Α'. ἐπιστολὴν τοῦ Ἰωάννου (tractatus 10 in Epistolam I. Johannis). Αὗται αἱ πλείστου λόγου ἄξιαι πραγματεῖαί εἰσι συνεχὴς ἑρμηνεία τοῦ ἱεροῦ κειμένου [φ].

ς'.] Ἐξήγησις προτάσεών τινων (84) ἐκ τῆς πρὸς Ρωμαίους ἐπιστολῆς (Expositio quaramdum (84) Propositionum ex Epistola ad Romanos). Τὸ βιβλίον τοῦτο ἐγράφη ἐν Καρχηδόνι ὑπὸ τοῦ ἁγίου Αὐγουστίνου, πρεσβυτέρου ἔτι ὄντος (τῷ 394), καὶ ἡ ἐν αὐτῷ περὶ χάριτος διδασκαλία οὐκ ἔστι πάνυ ὀρθή.

ζ'.] Τῆς πρὸς Ρωμαίους ἐπιστολῆς ἐξήγησις κατηργμένη μόνον καὶ οὐ τετελεσμένη (Epistolæ ad Romanos Expositio inchoata). Ἐνταῦθα ἑρμηνεύεται μόνον ὁ ἐν τῇ ἐπιστολῇ ταύτῃ ἀσπασμὸς (κεφ. α'. 1-7), σύναμα δ' ἀναπτύσσεται μετ' ἀκριβείας ἡ εἰς τὸ ἅγιον Πνεῦμα ἁμαρτία (π. 14-23) [χ].

η'.] Ἐξήγησις τῆς πρὸς Γαλάτας ἐπιστολῆς (Expositio Epistolæ ad Galatas). Ἡ ἐξήγησις αὕτη ἐστὶν ἐνιαχοῦ ἀξιολογωτάτη.

[υ] Τὸ σύγγραμμα τοῦτο, λέγει ὁ Fessler, δύναται κληθῆναι τῆς ἠθικῆς ἐπιτομὴ (ethices compendium). Σ. Μ.

[φ] Ἐν ταῖς πραγματείαις ταύταις συμμίγνυνται τὰ ἠθικὰ παραγγέλματα τῇ ἐκθέσει τῆς πίστεως καὶ τῇ διασαφήσει τῶν μυστηρίων. Τὰ καθήκοντα τῶν ἀνθρώπων οὐ χωρίζονται τῆς ἐξηγήσεως τοῦ δόγματος, καὶ ἐπειδὴ ὁ θεσπέσιος Πατὴρ εἶχεν ἀείποτε ὑπ' ὄψει τὰ σύγχρονα ζητήματα, ἅτινα ἐτάρασσον τὴν Ἐκκλησίαν, τὰ εἰς τὸν Εὐαγγελιστὴν Ἰωάννην ὑπομνήματα αὐτοῦ περιέχουσιν ἐξαιρέτους ἀποκρίσεις τοῖς Ἀρειανοῖς, τοῖς Μανιχαίοις, τοῖς Δονατισταῖς καὶ τοῖς Πελαγιανοῖς. Σ. Μ.

[χ] Τοῦ βιβλίου τούτου ποιεῖται μνείαν ὁ Κασσιόδωρος (inst. cap.8). Σ. Μ.

Ἡ ἀλληλογραφία, ἡ γενομένη μεταξὺ Αὐγουστίνου καὶ Ἱερωνύμου, γέροντος ἤδη ὄντος [ψ], περὶ τῆς ἐννοίας τῶν λόγων τοῦ Ἀποστόλου Παύλου: «Ἀλλ᾽ ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου, εἶπον τῷ Πέτρῳ . . . . ἰουδαΐζειν;» (Γαλ. β΄ 14), ἐστὶ πλείστου λόγου ἀξία. Αὕτη πρὸς τοῖς ἄλλοις δείκνυσι τὰς ἀρχάς, αἷς ἠκολούθει ὁ Αὐγουστῖνος ἐν τῇ ἑρμηνείᾳ τῆς Γραφῆς, καὶ τὴν πολλάκις ἐξαίρετον ἑρμηνείαν αὐτῆς. Ἡ ἀλληλογραφία αὕτη δείκνυσι πρὸς τούτοις ὅτι τὸ εὐσεβὲς αἴσθημα κατανοεῖ ἔσθ᾽ ὅτε ἀκριβέστερον καὶ βαθύτερον τὴν διάνοιαν τῆς Γραφῆς, ἢ ἡ μεγάλη φιλολογικὴ σοφία.

Ἡ σχέσις τοῦ Ἀποστόλου Παύλου πρὸς τὸν Πέτρον ἡρμηνεύθη πολυτρόπως. Ὁ ἐθνικὸς Πορφύριος ἀνέφερεν αὐτὴν πρὸς ἐπίμεμψιν ὅλου τοῦ Χριστιανισμοῦ· κατεγίνωσκε τοῦ Παύλου φθόνον πρὸς τὴν δόξαν τοῦ Πέτρου καὶ ἀλαζονείαν. «Ἤ, ἔλεγεν, ὁ Παῦλος ἔγραψεν οὐκ ἀλήθειαν, ἤ, εἰ τοῦτο ἦν ἀλήθεια, ἐμέμψατο αὐτῷ ἐκεῖνο, οὗ αὐτὸς ἦν ὑπαίτιος» ([1]). Ἡ καταφορὰ αὕτη τοῦ Πορφυρίου ἠνάγκασε τὸν Ὠριγένην, μετὰ δὲ ταῦτα τὸν Ἱερώνυμον δοῦναι τοῖς λόγοις τοῦ Ἀποστόλου τὴν ἑξῆς σημασίαν: «Ὁ Παῦλος ἐμέμψατο παρρησίᾳ τῷ Πέτρῳ, οὐχ ὅπως διορθώσῃ αὐτόν, ὀρθῶς ἀναμφηρίστως περὶ τῆς ὑποθέσεως δοξάζοντα, ἀλλ᾽ ὅπως ἐν τῷ προσώπῳ αὐτοῦ διδάξῃ τοὺς Ἰουδαίους καὶ κατακρίνῃ, ἣν εἶχον πεποίθησιν, ὡς πρὸς τὴν σημασίαν τοῦ τελετουργικοῦ νόμου· τοῦτο ἦν τεχνικὴ στροφή, ᾗ ἐχρήσατο, καλούσης εἰς τοῦτο τῆς ποιμαντορικῆς φρονήσεως» κτλ . . . . Τοιαύτην ἐξήγησιν ἐδίδου ὁ Ἱερώνυμος τοῖς λόγοις τοῦ Ἀποστόλου ἐν τῇ ἑρμηνείᾳ αὐτοῦ εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν ([2]). Ὁ μακάριος Αὐγουστῖνος γράφει ἐν τῇ πρὸς τὸν Ἱερώνυμον ἐπιστολῇ, ὅτι λίαν λυπεῖται ἐπὶ τῷ ὑπερασπίζεσθαι τὸ ψεῦδος τοιαύτη ἑρμηνεία. Ὁ Ἀπόστολος, λέγει, οὐκ ἠδύνατο ψεύδεσθαι, ἄλλως καταστρέφεται ἀ-

[ψ] Ὁ μὲν Αὐγουστῖνος ἦγε τότε τὸ 41ον ἔτος, ὁ δ᾽ Ἱερώνυμος τὸ 64ον. Σ. Μ.

([1]) Hieron. epist. ad Augustin. nter ep. Augustini 75.

([2]) Ep. ad Augustin. 75. c. 3. §. 6. Comment. in Ep. ad Galatas T. 4. p. 244. Ἐνταῦθα προστίθησιν: ut hypocrisis observandæ legis, quæ nocebat eis qui ex gentibus crediderunt, *correptionis hypocrisi* emendavetur—et uterque populus salvus fieret.

παν τὸ πρὸς τὴν ἁγ. Γραφὴν σέβας. Ἕκαστος δύναται ἀποδέχεσθαι πᾶν ὅ,τι ἀρέσκῃ αὐτῷ καὶ ἀπορρίπτειν τοῦτο ἢ ἐκεῖνο τὸ χωρίον τῆς Γραφῆς λέγων, ὅτι ἐστὶ *ψεῦδος ἐκ λειτουργίας ἢ ἐκ καθήκοντος* (officiosum mendacium). Ἐπὶ δὲ τούτοις ἄνθρωποι διεφθαρμένοι δύνανται ῥᾳδίως κωλύειν τὸν γάμον, πρὸς ἀπολογίαν δ' ἔσονται λέγοντες, ὅτι ὁ γάμος ἦν μόλις ἀνεκτὸς τοῖς Ἀποστόλοις. Τοὐλάχιστον ἀναγκαῖόν ἐστι δοῦναι σαφεῖς κανόνας πρὸς διάκρισιν τῶν χωρίων, ἐν οἷς τὸ ψεῦδος (1). Ἐν ἄλλῃ πρὸς τὸν Ἱε-

(1) Ep. August. 28. Ἡ ἐπιστολὴ αὕτη, γραφεῖσα ὅτε ἦν ὁ Αὐγουστῖνος ἔτι πρεσβύτερος, οὐκ ἐνεχειρίσθη τῷ Ἱερωνύμῳ. Ὁ Προφούτουρος, ὃν συνίστη ὁ θεῖος Πατὴρ ἐν τῇ ἐπιστολῇ ταύτῃ τῷ Ἱερωνύμῳ, ἠναγκάσθη ἀναβαλεῖν τὴν εἰς Ἱεροσόλυμα ὁδοιπορίαν αὐτοῦ, ἅτε δὴ προχειρισθεὶς ἐπίσκοπος. Μαθὼν τοῦτο ὁ Αὐγουστῖνος ἔγραψεν ἑτέραν ἐπιστολὴν τῷ Ἱερωνύμῳ περὶ τῆς αὐτῆς ὑποθέσεως. [Ἐν τῇ δευτέρᾳ παραγράφῳ τῆς ἐπιστολῆς ταύτης (28) ἀποτρέπει ὁ θεσπέσιος Πατὴρ τὸν Ἱερώνυμον τῆς ἐκ τοῦ ἑβραϊκοῦ νεωτέρας μεταφράσεως τῆς Π. Δ. «Ἐξαιτούμεθα τοίνυν, γράφει αὐτῷ, καὶ μεθ' ἡμῶν ἅπασα ἡ τῶν Ἀφρικανῶν ἐκκλησιῶν φιλόσπουδος ἑταιρία, ἵνα μὴ βαρυνθῇς πᾶσαν φροντίδα καὶ σχολὴν καταβάλλων, ὅπως μεταφράσῃς τὰς βίβλους ἐκείνων (τῶν Ο'), οἳ τὰς ἡμετέρας (τῶν Χριστιανῶν) Γραφὰς ἑλληνιστὶ ὡς ἄριστα μεθηρμήνευσαν. Ἄλλως δὲ οὐκ ἄν σε βουλοίμην διαπονεῖσθαι περὶ τὸ μεταφράζειν λατινιστὶ τὰς ἁγίας καὶ κανονικὰς Γραφάς, εἰμή, καθ' ὃν τρόπον μεθηρμήνευσας τὸν Ἰώβ, σημεῖα προστιθείς, δι' ὧν φανήσεται, εἴ τι τῆς σῆς (ἐκ τοῦ ἑβραϊκοῦ) μεταφράσεως διαφέρει τῆς τῶν Ο', ὧν μέγα βρίθει τὸ κῦρος. Οὐ δύναμαι δ' αὐτάρκως θαυμάζειν, εἴ τι κεῖται καὶ νῦν ἔτι λανθάνον ἐν τοῖς ἑβραϊκοῖς γράμμασι καὶ ἀντιγράφοις, μετὰ τοὺς ἐμπειροτάτους ἐκείνης τῆς γλώσσης ἑρμηνεῖς (παραλείπω τοὺς Ο', περὶ ὧν τῆς, εἴτ' ἀπὸ βουλῆς, εἴτ' ἀπὸ θειοτέρου Πνεύματος γενομένης συμφωνίας, ὡς ἂν εἴπερ ἦσαν οἱ πάντες εἷς ἄνθρωπος, οὐ τολμῶ βεβαίαν γνώμην εἰς οὐδέτερον τῶν μερῶν ἐπιφέρειν· νομίζω δὲ μόνον, ὅτι τούτοις περὶ τοῦτο τὸ ἔργον ἀποδοτέον ἀναντιρρήτως τὴν ἔξοχον αὐθεντίαν). Ἐκεῖνοι δέ με (οἱ λοιποὶ ἑρμηνεῖς) κινοῦσι μᾶλλον εἰς ἀπορίαν· εἴγε, κατόπιν τῶν Ο' μεταφράζοντες, καὶ τῶν ἑβραϊκῶν λέξεων καὶ φράσεων τήν τε μέθοδον καὶ τοὺς κανόνας ὀδὰξ (τὸ τοῦ λόγου) κρατοῦντες, οὐ μόνον οὐ συνεφώνησαν πρὸς ἀλλήλους, ἀλλὰ καὶ πολλὰ κατέλιπον, ἅπερ ἤδη μετὰ τοσοῦτον χρόνον ἐξευρεῖν καὶ ἐξηγήσασθαι δεῖ. Εἰ μὲν γὰρ ταῦτ' εἰσι σκοτεινά,

ρώνυμον ἐπιστολῇ ἀνεσκεύασε τὴν ἔνστασιν, ἣν ἠδύνατο ἄν τις ποιήσασθαι ἐκ τῶν λόγων τοῦ Ἀποστόλου: «Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω» (Α΄ Κορ. θ΄ 20). «Τοῦτο, γράφει, σημαίνει μόνον αἴσθημα συμπαθείας, οὐχὶ δ᾽ ὑπόκρισιν ψεύδους. Ὁ Παῦλος ἐξ Ἰουδαίων ἐγένετο Χριστιανός. Ὡς Χριστιανὸς ἐξ Ἰουδαίων ὁ Παῦλος οὐ κατέλιπε τὰς σπουδαιότητά τινα ἐχούσας ἰουδαϊκὰς ἱεροτελεστίας. Ἠδύνατο τηρεῖν ἔτι αὐτάς, ὅπως δείξῃ, ὅτι οὐκ εἰσὶ βλαβεραί, εἰ καὶ οὐκ ἐπίστευεν, ὅτι εἰσὶν ἀναγκαῖαι πρὸς σωτηρίαν. Οὕτως ἤλεγξε καὶ τὸν Πέτρον, οὐχ ὡς φυλάττοντα τὰς ἱεροτελεστίας, ἀλλ᾽ ὡς ἀναγκάζοντα τοὺς ἐξ ἐθνῶν Χριστιανοὺς ἰουδαΐζειν, ὅπερ ἦγε πρὸς τὴν ψευδῆ πίστιν, ὅτι δῆθεν ὁ τελετουργικὸς νόμος ἐστὶν ἀναγκαῖος πρὸς σωτηρίαν. Καὶ αὐτὸς ὁ Πέτρος ἐδόξαζεν οὕτως, ἀλλὰ φοβούμενος μὴ ἀπαρέσῃ τοῖς Ἰουδαίοις, ἔπραττεν οὐ κατὰ τὴν πίστιν αὐτοῦ. Διὰ τοῦτο δὲ δικαίως ἠλέγχθη ὑπὸ τοῦ Παύλου. Εἰ ὁ Παῦλος ἐπὶ τῷ σκοπῷ τοῦ ψεύδεσθαι καὶ ἀπατᾷν ὑπέτασσεν ἑαυτὸν ταῖς ἰουδαϊκαῖς ἱεροτελεστίαις, ἐτήρει ἂν ὡσαύτως καὶ τὰς ἐθνικὰς ἱεροτελεστίας, ὅπως ᾖ καὶ τοῖς Ἕλλησιν Ἕλλην. Πρόδηλον, ὅτι ἠδύνατο τηρεῖν τὸν ἱεροτελεστικὸν νόμον μόνον ὡς Ἰουδαῖος τὸ γένος, καὶ οὐδεμία ἀνάγκη ὑποτιθέναι ὅτι δῆθεν ἐβούλετο ἀπατᾷν» ([1]).

καὶ σέ γ᾽ ἂν περὶ ταῦτα σφαλῆναι πιθανόν· εἰ δὲ φανερά, περιττὸν τὸ βούλεσθαί σε διασαφῆσαι ἅπερ ἐκείνους οὐκ ἔλαθον». (μετάφρ. Οἰκον.) Σ. Μ.]

([1]) Ὁ κομιστὴς τῆς ἐπιστολῆς ταύτης ἦν ἱερεύς τις Ἄφρος, Παῦλος καλούμενος. Οὗτος, φοβούμενος τὸν πλοῦν, ἀνέβαλε τὴν πρόθεσιν τοῦ ἀπελθεῖν εἰς Παλαιστίνην, καὶ ἀντὶ τοῦ ἀποδοῦναι τῷ Αὐγουστίνῳ τὴν ἐπιστολὴν ἐπέτρεψεν ἄλλοις ἀντιγράψαι αὐτήν. Τὰ ἀντίγραφα διεδόθησαν ταχέως ἀνὰ πᾶσαν τὴν Ἰταλίαν καὶ ἄλλας χώρας. Ἓν αὐτῶν ἐστάλη τῷ Ἱερωνύμῳ ἔκ τινος τῶν ἀδριατικῶν νήσων. Ταχέως ἔμαθε καὶ ὁ Αὐγουστῖνος, ὅτι μέμφεται αὐτῷ ὁ Ἱερώνυμος ὡς στείλαντι κατ᾽ αὐτοῦ βιβλίον εἰς Ρώμην. Οὐκ ἠδύνατο ἐννοῆσαι τοῦτο, ἀγνοῶν τὴν τύχην τῆς δευτέρας αὐτοῦ ἐπιστολῆς. Ἔγραψε πρὸς τὸν Ἱερώνυμον ἀρνούμενος ταύτην τὴν φήμην. Τοῦτο δ᾽ οὐ μόνον οὐ καθησύχασε τὸν Ἱερώνυμον, ἀλλὰ καὶ πολλῷ πλέον ἠρέθισεν αὐτόν· ἔστειλε τῷ Αὐγουστίνῳ δύο ἐπιστολὰς πάνυ δηκτικάς. Ὁ Αὐγουστῖνος ἔστει-

Ὁ μακάριος Ἱερώνυμος καὶ μετὰ τοῦτο ἐνέμενε τῇ ἑαυτοῦ δοξασίᾳ. Πρὸς ὑπεράσπισιν δὲ ταύτης ἐπεκαλεῖτο ἐν πρώτοις τὴν ἑρμηνείαν ἄλλων, οἷον τοῦ Ὠριγένους, τοῦ Διδύμου, τοῦ Ἀπολλιναρίου, Εὐσεβίου τοῦ Ἐμέσης, Θεοδώρου τοῦ Ἡρακλείας, τοῦ Ἰωάννου (τοῦ Χρυσοστόμου), ἔπειτα δὲ παρῆγε τὰς ἰδίας αὐτοῦ ἀποδείξεις. «Ὁ Ἀπόστολος Πέτρος, ἔλεγεν, ἐγίνωσκε καλῶς, ὅτι οὐκ ἔστι πλέον ἀνάγκη τηρεῖν τὸν τελετουργικὸν νόμον, διότι αὐτὸς ἔθηκεν ἐν Ἱερουσαλὴμ κανόνα περὶ αὐτοῦ. Ὁ δὲ Παῦλος ἐτήρει πολλάκις τὸν τελετουργικὸν νόμον διὰ τὸν φόβον τῶν Ἰουδαίων· περιέτεμε τὸν ἐθνικὸν Τιμόθεον (Πρ. ις΄ 7), ἐκείρατο τὴν κεφαλὴν ἐν Κεγχρεαῖς (Πρ. ιη΄ 18). Κατ᾽ ἐξοχὴν δ᾽ ἐδείκνυ τὸ πῶς ὁ Παῦλος, κατὰ συμβουλὴν τοῦ Ἰακώβου, ἐσπούδαζε διαθεῖναι πρὸς ἑαυτὸν τοὺς ἐξ Ἰουδαίων Χριστιανούς (Πρ. κα΄ 23). Τοιούτῳ τρόπῳ καὶ ὁ Πέτρος καὶ ὁ Παῦλος ὑπεκρίνοντο, ἐτήρουν τὸν νόμον οἰκονομικῶς (dispensative), καὶ ἐντεῦθεν ὁ Παῦλος οὐκ ἠδύνατο μέμφεσθαι εἰλικρινῶς τῷ Πέτρῳ. Ὁ Ἱερώνυμος ἡγεῖτο μάλιστα αἵρεσιν τὴν δοξασίαν τοῦ Αὐγουστίνου, ὅτι ὁ νόμος αὐτὸς καθ᾽ ἑαυτὸν οὐκ ἔστι βλαβερός, καὶ ὅτι ὁ τὸ γένος Ἰουδαῖος ἠδύνατο τηρεῖν αὐτόν (1).

λε τῷ ὀξυχόλῳ γέροντι ἀπολογητικὴν ἐπιστολὴν καὶ μετ᾽ αὐτὴν ἀντίγραφον τῶν δύο αὐτοῦ ἐπιστολῶν περὶ τῶν λόγων τοῦ Ἀποστόλου· εἰς ἀπόκρισιν δὲ τῆς πρώτης τοῦ γέροντος ἐπιστολῆς ἐπέστειλεν ἐπιστολὴν τοσοῦτον εὐγενῆ, τοσοῦτον ἀποπνέουσαν χριστιανικὴν ἀγάπην, ὥστε ἀνομολογητέα ὡς ἐξαίρετον μνημεῖον χριστιανικῆς εὐσεβείας. Τέλος μετὰ παρέλευσιν ἑπτὰ ἐτῶν ἀπὸ τῆς πρώτης ἐπιστολῆς τοῦ Αὐγουστίνου ἔλαβεν ὁ Ἱερώνυμος τὰ σταλέντα πρὸς αὐτὸν ἀντίγραφα τῶν ἐπιστολῶν αὐτοῦ. Τότε μετέβαλε τὴν περὶ τοῦ Αὐγουστίνου γνώμην αὐτοῦ, οὐχὶ δὲ καὶ τὴν περὶ τῶν λόγων τοῦ Ἀποστόλου δοξασίαν.

(1) Ep. LXXIII ad Augustin. [«Τοὐναντίον, λέγει ὁ Ἱερώνυμος, ἐρῶ καὶ ἀναβοήσομαι ἐνώπιον ἅπαντος τοῦ κόσμου, ὅτι αἱ ἱεροτελεστίαι τῶν Ἰουδαίων εἰσὶ βλαβεραὶ καὶ θανάσιμοι τοῖς Χριστιανοῖς, καὶ ὁ τηρῶν αὐτάς, εἴτε Ἰουδαῖος, εἴτε ἐθνικός, πέπτωκεν εἰς τὸ βάραθρον τοῦ διαβόλου. Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι... (Ρωμ. 10,4). Ὁ νόμος καὶ οἱ Προφῆται ἕως Ἰωάννου.... (Λουκ. ις΄ 16). Αὐτὸς ὁ Παῦλος εἴρηκε: «Λέ-

Ὁ μακάριος Αὐγουστῖνος ἀπεκρίνατο ὀρθῶς καὶ ἐν πνεύματι χριστιανικῷ τῇ ἐνστάσει τοῦ Ἱερωνύμου. Ὡς πρὸς τοὺς προγενομένους διδασκάλους, ὧν ἐποιήσατο μνείαν ὁ Ἱερώνυμος, ἔγραψε: «Δηλῶ τῇ σῇ ἀγάπῃ, ὅτι ἔμαθον τιμᾶν καὶ σέβειν μόνον ἐκείνας τὰς Γραφάς, ἃς καλοῦμεν κανονικάς, διότι πέπεισμαι, ὅτι οὐδεὶς τῶν συγγραφέων αὐτῶν ἐπλανήθη. Ἐὰν δὲ εὕρω ἐν αὐταῖς τι, ὅπερ φαίνεται ἐναντίον τῇ ἀληθείᾳ, οὐδὲν ἄλλο ἐρῶ, ἢ ὅτι, ἢ ὁ κώδηξ ἐστὶ πλημμελής, ἢ ὁ μεταφραστὴς οὐκ ἐνόησεν τὸ ῥηθέν, ἢ ὅτι ἐγὼ οὐδαμῶς ἐννοῶ αὐτό. Τοὺς δ' ἄλλους ἀναγινώσκω οὕτως, ὥστε, ἐφ' ὁσηδήποτε ἁγιότητι καὶ παιδείᾳ καὶ ἂν διαπρέπωσι, μὴ νομίζειν διὰ τοῦτο ἀληθές, διότι αὐτοὶ ἀπεφήναντο οὕτως, ἀλλά, διότι ἠδυνήθησαν πεῖσαί με εἴτε διὰ κανονικῶν συγγραφέων, εἴτε διὰ πιθανῶν λόγων, ὅτι οὐκ εἰσι πόρρω τοῦ ἀληθοῦς». Περὶ τοῦ ἀπιθάνου δὲ τοῦ ὅτι ὁ Παῦλος ἤλεγξε τὸν Πέτρον ἐπ' ἐκείνῳ, ἐφ' ᾧ οὐκ ἠδύνατο ἡγεῖσθαι ἑαυτὸν ἀθῷον, λέγει, ὅτι οὐκ ἔστι τὸ ζήτημα περὶ τοῦ τί ἔπραξεν ὁ Παῦλος, ἀλλὰ περὶ τοῦ τί ἔγραψεν. Εἰ οὐ συμφωνοῦσι τοῖς λόγοις αἱ πράξεις αὐτοῦ, καὶ τότε παραδεκτέον μᾶλλον, ὅτι καὶ ἑαυτὸν ἤλεγχεν, ἢ ὅτι ἐψεύδετο, καὶ δὴ καὶ ἐν τοιαύτῃ ἐπιστολῇ, ἔνθα λέγει: «Ἃ δὲ γράφω ὑμῖν, ἰδού, ἐνώπιον τοῦ Θεοῦ, ὅτι οὐ ψεύδομαι» (Γαλ. α' 20). Ἀναμφήριστον τοίνυν, ὅτι ἔπραξεν ἔργον μεμπτὸν ὁ Πέτρος ἀναγκάζων τοὺς ἐθνικοὺς ἰουδαΐζειν παρὰ τὴν εὐαγγελικὴν ἀλήθειαν, ὡς μαρτυρεῖ τοῦτο σαφῶς ὁ Παῦλος. Περὶ τῶν παραδειγμάτων δὲ τοῦ Παύλου λέγει ὁ θεῖος Πατήρ, ὅτι μεγάλη ἡ μεταξὺ τῶν πράξεων αὐτοῦ καὶ τῶν τοῦ Πέτρου διαφορά. Ὁ τελευταῖος ἠνάγκαζε τοὺς εἰς Χριστὸν πιστεύοντας ἐθνικοὺς ἰουδαΐζειν καὶ ἁμαρτάνειν, ὡς μὴ δυναμένους δῆθεν σωθῆναι ἄνευ τοῦ ἰουδαϊκοῦ νόμου. Ὁ Ἰάκωβος συνεβούλευσε τῷ Παύλῳ παραλαβεῖν τέσσαρας, εὐχὴν ἔχοντας ἐφ' ἑαυτῶν καὶ ἁγνισθεῖναι σὺν αὐτοῖς (Πρ. κα' 24), διότι κατηγόρουν αὐτοῦ οἱ ἰουδαΐζοντες, ὡς διδάσκοντος ἀποστασίαν ἀπὸ τοῦ νόμου καὶ ὡς νομίζοντος τὰς μωσαϊκὰς τελετουργίας ἴσας ταῖς τῶν ἐθνικῶν. Ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις ὡρίσαντο οἱ Ἀπόστολοι, ἵνα μηδεὶς ἀναγκάζῃ τὰ ἔθνη ἰουδαΐζειν, οὐχ ὡρίσαντο δέ, ἵνα μηδεὶς

γω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς οὐδὲν ὠφελήσει (Γαλ. ε' 7). Σ. Μ.

κωλύῃ τοὺς Ἰουδαίους ἰουδαΐζειν, καίπερ τῆς χριστιανικῆς διδασκαλίας καὶ αὐτοὺς οὐκ ἀναγκαζούσης. Ἀναγκάζων τοίνυν ὁ Πέτρος τοὺς πρώην ἐθνικοὺς τηρεῖν τὰς ἰουδαϊκὰς ἱεροτελεστίας ἔπραττε τοῦτο οὐ συνῳδὰ τῇ γνωστῇ αὐτῷ ἀποφάσει, καὶ ἐντεῦθεν δικαίως ἠλέγχθη ὑπὸ τοῦ Παύλου. Ὁ Παῦλος περιέτεμε τὸν Τιμόθεον βουλόμενος δεῖξαι, ὅτι, κατὰ τὴν γνώμην αὐτοῦ, ὁ νόμος αὐτὸς καθ᾽ἑαυτὸν οὐκ ἦν κακός». Περὶ δὲ τῆς σχέσεως τῆς ἑρμηνείας πρὸς τὰς δοξασίας τοῦ Ἐβίωνος καὶ τοῦ Κηρίνθου ὁ Αὐγουστῖνος ἔλεγεν, ὅτι ἀκολουθῶν τις οὐ ταῖς δοξασίαις αὐτοῦ, ἀλλὰ ταῖς τοῦ Ἱερωνύμου, ὀφείλει ὁμολογῆσαι, ὅτι ἅπαντες οἱ πρώην Ἰουδαῖοι περιετέμνοντο, ἐτήρουν τὸν νόμον, καί, ὅπερ ἐστὶ πολλῷ χεῖρον, ἐν συνειδήσει καὶ κατὰ σκοπόν. Πλὴν ἀλλ᾽ ὁ Αὐγουστῖνος ἀπεφήνατο νῦν περὶ τούτου ὁριστικώτερον, γράψας, ὅτι οἱ πρώην Ἰουδαῖοι ἠδύναντο διὰ τοῦτο τηρεῖν τὸν νόμον, ὅπως ἐνταφιάσωσιν αὐτὸν μετὰ τιμῆς, καθάπερ οὐ ῥίπτουσι τοὺς νεκροὺς μετὰ περιφρονήσεως, ἀλλ᾽ἐνταφιάζουσιν αὐτοὺς μετ᾽ εὐσεβῶν αἰσθημάτων. «Ἐντεῦθεν νῦν, λέγει, ὅστις ἂν τῶν χριστιανῶν, καὶ εἰ ἔστιν ἐξ Ἰουδαίων, βουληθῇ παραπλησίως τιμῆσαι αὐτούς, ὡσεὶ ἀνορύττων τὰς καθευδούσας τέφρας, οὐκ ἔσται εὐσεβὴς προπομπὸς ἢ βαστακτὴς τοῦ νεκροῦ, ἀλλ᾽ ἀσεβὴς βεβηλωτὴς τῆς τυμβείας» [Proinde nunc quisquis Christianorum, quamvis sit ex Judaeis, similiter ea (corpora) celebrare voluerit, tamquam sopitos cineres eruens, non erit pius deductor, vel bajulus corporis, sed impius sepulturæ violator] [ω]. Τέλος ἐξαιτησάμενος συγγνώμην

[ω] Ἦν ὅλως ἁπλοῦν τῷ ὄντι, λέγει ὁ Poujoulat, ἵνα ὁ ἀρχαῖος ἑβραϊκὸς κόσμος ἀφανισθῇ κατὰ μικρόν, καθ᾽ ὅσον προώδευεν ὁ Χριστιανικὸς κόσμος. Ἡ κατάργησις τῆς ἰουδαϊκῆς λατρείας οὐκ ἠδύνατο γενέσθαι ἐξαπιναίως. Ἡ νὺξ οὐ συστέλλει παραυτίκα τὰ ἱστία αὐτῆς, ἡμέρας ἐπιγινομένης· ἐπί τινα ἔτι χρόνον αἱ σκιαὶ ἐπισκοτίζουσι τὸν οὐρανὸν ἀπὸ τῆς δύσεως. Εἰ ἔστι τοιαύτη ἡ εἰκὼν τῶν μεγάλων ἱδρυμάτων τῶν ἀνθρώπων, προωρισμένων παραχωρῆσαι ἄλλοις τελειοτέροις, πολλῷ μᾶλλόν ἐστιν ἀληθὲς περὶ τῶν ὑπὸ τῆς θείας σφραγῖδος σεσημασμένων ἱδρυμάτων! Χάριν τῆς οὐρανίου αὐτῶν ἀρχῆς ὀφείλει τις εἰπεῖν αὐτοῖς μετὰ σεβασμοῦ χαίρειν. Ὁ μωσαϊσμὸς ἀξίως εἶχε τοῦ τυχεῖν ὡραίας κηδείας, καὶ τοῦτο ἐξηγεῖται τὴν διαγωγὴν (la conduite) τῶν Ἀποστό-

ἐπὶ τῷ πρότερον ἐπιλαθέσθαι προσθεῖναι τοῦτο, ἐπιλέγει μετὰ χριστιανικῆς ταπεινοφροσύνης : «Ἐντεῦθεν ψεκτέον μᾶλλον τὴν ἐμὴν ἀμέλειαν, διότι οὐ προσέθηκα τοῦτο, ἢ τὴν σὴν ἐπίπληξιν» [Proinde potius culpanda est negligentia mea, quia hoc non addidi, quam objurgatio tua] ([1]).

Ὁ Ἱερώνυμος ἐποιήσατο καὶ κατόπιν λόγον πρὸς τὸν Αὐγουστῖνον περί τε τῶν λόγων καὶ τῶν πράξεων τοῦ Ἀποστόλου Παύλου [[2]].

§. 199. δ') Ὡς ἀπολογητὴς τοῦ χριστιανισμοῦ καὶ δογματικός· Γενικὸς αὐτοῦ χαρακτήρ.

Ὁ μακάριος Αὐγουστῖνος ἠγωνίσατο μετ' ἐνθέου ζήλου καὶ ὑπὲρ τῆς δόξης τοῦ χριστιανισμοῦ πρὸς τοὺς ἐχθροὺς αὐτοῦ. Τὸ μακρότατον τῶν ἀπολογητικῶν αὐτοῦ συγγραμμάτων ἐστὶ τὸ περὶ πόλεως Θεοῦ (de civitate Dei) ἐν 22 βιβλίοις. Τὴν ὑπόθεσιν τοῦ συγγράμματος τούτου ἐκτίθησιν αὐτὸς ὁ Αὐγουστῖνος ὧδε: «. . . ὧν (βιβλίων) τὰ πρῶτα πέντε ἀπελέγχουσι τοὺς φανταζομένους, ὅτι αἱ πρόσκαιροι εὐπραγίαι ἤρτηνται τῆς λατρείας τῶν θεῶν, καὶ τοὺς ὁρῶντας ἐν τῇ καταλύσει τῶν βωμῶν τὴν αἰτίαν ἁπασῶν τῶν

λων. Ἀλλ' ὁ Πέτρος ἔπραξε πλέον τοῦ προσήκοντος· ἦν λίαν πιστὸς τῷ παρελθόντι, ἀναγκάζων τοὺς ἐθνικοὺς ἰουδαΐζειν, ἐφ' ᾧ ἠλέγχθη ὑπὸ τοῦ Παύλου, ὃς ἐδείχθη τότε τέλειος ἑρμηνευτὴς τῆς χριστιανικῆς ἐννοίας. (Hist. de Saint Augustin T. I. p. 314). Σ. Μ.

([1]) Ep. LXXXII ad Hieron. [Καὶ ἐν τῇ ἐπιστολῇ ταύτῃ ἀποτρέπει ὁ μακ. Αὐγουστῖνος τὸν ἅγ. Ἱερώνυμον τῆς ἐκ τοῦ ἑβραϊκοῦ νεωτέρας μεταφράσεως· «. . . . Τούτου χάριν, λέγει, τῆς ἐκ τῶν Ο' (λατινικῆς) ἑρμηνείας ἐπιθυμῶ, ἵνα καὶ τῆς ἀμαθείας τῶν λατίνων μεταφραστῶν (οἵτινες καὶ οἱοιδήποτε ὄντες ἐτόλμησαν ἐγχειρῆσαι τῷ ἔργῳ) κατὰ τὸ δυνατὸν ἀπαλλαγῶμεν, καὶ ὅσοι μὲ νομίζουσι τοῖς ὠφελίμοις σου πόνοις φθονοῦντα, ὀψὲ γοῦν, εἴπως ἔνεστιν, ἐννοήσωσιν, ὅτι διὰ τοῦτο οὐ βούλομαι τὴν σὴν ἑρμηνείαν ἐν ταῖς ἐκκλησίαις ἀναγινώσκεσθαι, μήποτε ὡς ἄλλο τι καινότερον κατὰ τῆς αὐθεντίας τῶν Ο' παρεισάγοντες, μετὰ πολλοῦ σκανδάλου διαταράξωμεν τοὺς λαοὺς τοῦ Χριστοῦ, ὧν τά τε ὦτα καὶ αἱ καρδίαι ἐκείνων εἰθίσθησαν ἀκούειν τὴν ἑρμηνείαν, ἥτις ἐνεκρίθη καὶ ὑπὸ τῶν Ἀποστόλων». §. 35. (μετάφρ. Οἰκον.) Σ. Μ.

([2]) Lib. contra Pelagian. I. c. 8.

συμφορῶν τῆς αὐτοκρατορίας. Ἐν δὲ τοῖς ἑπομένοις πέντε γίγνεται λόγος κατ' ἐκείνων, οἵτινες ὁμολογοῦσι μέν, ὅτι αἱ συμφοραὶ αὗται οὐδέποτε ἐπαύσαντο οὖσαι, ὅτι οὐδέποτε διαφεύξεται αὐτὰς τὸ ἀνθρώπινον γένος, καὶ ὅτι ἀνανεοῦνται ὁτὲ μὲν μείζονες, ὁτὲ δὲ ἐλάσσονες, ἄνευ οὐδεμιᾶς διακρίσεως, πλὴν τῆς τοῦ χρόνου, τοῦ τόπου, καὶ τῶν προσώπων, ἀλλὰ διϊσχυρίζονται τὸ ὠφέλιμον τῆς λατρείας τῶν θεῶν διὰ τὴν μέλλουσαν ζωήν. Ταῦτα τοίνυν τὰ δέκα βιβλία ἀνασκευάζουσι τὰς δύο ταύτας κατὰ τοῦ χριστιανισμοῦ ματαίας δοξασίας. Ἀλλ' ἵνα μή τις μέμψηταί μοι, ὅτι τὰς μὲν ἀλλοτρίας δοξασίας μόνον ἀπήλεγξα, τὰς δ' ἡμετέρας οὐ διεβεβαιωσάμην, ἐχρησάμην πρὸς τοῦτο τῷ δευτέρῳ μέρει τοῦ συγγράμματος τούτου, ὅπερ περιέχει δώδεκα βιβλία. Καί τοι, ἔνθα δέον ἐστί, καὶ ἐν τοῖς πρώτοις δέκα βιβλίοις βεβαιοῦται ἡ ἡμετέρα πίστις, ὅμως καὶ ἐν τοῖς τελευταίοις δώδεκα ἀνασκευάζονται αἱ τῶν ἡμετέρων ἐχθρῶν δοξασίαι. Τὰ τέσσαρα τοίνυν πρῶτα τῶν ἑπομένων δώδεκα βιβλίων περιέχουσι τὴν γένεσιν τῶν δύο πόλεων, τῆς τοῦ Θεοῦ καὶ τῆς τοῦ κόσμου τούτου· τὰ ἑπόμενα τέσσαρα τὴν ἀνάπτυξιν καὶ τὴν πρόοδον αὐτῶν· τὰ τελευταῖα τέσσαρα τὸ τέλος, εἰς ὃ μέλλουσι καταλῆξαι. Οὕτως ἅπαντα τὰ εἴκοσι καὶ δύο βιβλία, εἰ καὶ πραγματεύονται περὶ τῶν δύο πόλεων, ὅμως ἔλαβον τὸ ὄνομα ἀπὸ τῆς κρείττονος, ὅπως καλῶνται μᾶλλον περὶ πόλεως Θεοῦ. Ἐν τῷ δεκάτῳ βιβλίῳ οὐκ ἔδει θέσθαι ἐν μέρει θαύματος τὴν φλόγα τοῦ οὐρανοῦ, τὴν διελθοῦσαν ἀνὰ μέσων τῶν ἱερείων κατὰ τὴν θυσίαν τοῦ Ἀβραάμ, διότι τοῦτο ἐδείχθη αὐτῷ ἐν ὁράματι. Ἐν τῷ δεκάτῳ ἑβδόμῳ βιβλίῳ ἐκεῖνο, ὅπερ ἐρρέθη περὶ τοῦ Σαμουήλ, ὅτι οὐκ ἦν ἐκ τῶν υἱῶν Ἀαρών, ῥητέον μᾶλλον, ὅτι οὐκ ἦν υἱὸς ἀρχιερέως, διότι ἦν ἔθος, ἵνα οἱ ἀρχιερεῖς καταλείπωσι τοὺς υἱοὺς αὐτῶν διαδόχους. Ὁ πατὴρ τοῦ Σαμουὴλ ἦν ἀναμφηρίστως ἐκ τῶν υἱῶν τοῦ Ἀαρών, ἀλλ' οὐκ ἦν ἀρχιερεύς. Καὶ λέγω, ὅτι ἦν ἐκ τῶν υἱῶν τοῦ Ἀαρών, οὐχ ὅτι ἐγεννήθη ἀμέσως ἐξ αὐτοῦ, ἀλλὰ κατὰ τὴν ἔννοιαν, καθ' ἣν ἅπαντες οἱ Ἰουδαῖοι καλοῦνται υἱοὶ Ἰσραήλ» (¹). Ἐν τῷ συγγράμματι τούτῳ καταδείκνυται ἡ τοῦ Αὐγουστίνου πολυμά-

(¹) Retract. lib. II. c. XLIII.

θεια· ὁμολογητέον δ' ὅτι ἐκ τῆς ἐν αὐτῷ περιγραφῆς τῶν θεῶν τῆς Ἑλλάδος καὶ τῆς Ρώμης μικρὰ προσγίγνεται αὐτῇ τῇ χριστιανικῇ θρησκείᾳ ὠφέλεια. Ὁμολογητέον ἐπ' ἴσης, ὅτι οὐκ ἐξετάζεται ἐν αὐτῷ μετὰ τῆς προσηκούσης βαθυνοίας τὸ πνεῦμα τῶν ἐθνικῶν λαῶν. Ἐν ὅλῳ τῷ συγγράμματι, καὶ δὴ καὶ ἐκεῖ, ἔνθα ἐκτίθεται ἡ περὶ Θεοῦ, περὶ κόσμου, περὶ ἀνθρώπου, καὶ περὶ τῆς τύχης τῆς ἀνθρωπότητος χριστιανικὴ διδασκαλία, ὁ Αὐγουστῖνός ἐστι μᾶλλον σχολαστικὸς φιλόσοφος, ἢ βαθὺς θεολόγος [α].

[α] Τὸ σύγγραμμα τοῦτο, λέγει ὁ κλεινὸς Καβέος, ἐστὶ nobile, si quid aliud, antiquitatis ecclesiasticæ monumentum, in quo omnibus nervis, magno ingenii acumine ingenti eruditionis tum ethnicæ, tum ecclesiasticæ apparatu rei christianæ causam adversus gentilium objectiones agit. « Ἡ πόλις τοῦ Θεοῦ, λέγει καὶ ὁ σοφὸς Poujoulat, ἐστὶ μνημεῖον θαυμαστὸν διὰ τὸ καινόν, τὸ ὕψος καὶ τὸ πλάτος τῆς ἐννοίας (de la conception) διὰ τὴν ἀφθονίαν τῶν γεγονότων καὶ τῶν ἰδεῶν. Πρὸ τοῦ ἁγ. Αὐγουστίνου οὐδεὶς ἕτερος εἶδε τοσοῦτον καλῶς καὶ τοσοῦτον ὑψηλῶς τοσαῦτα πράγματα. Ἡ πόλις τοῦ Θεοῦ ἐστιν οἱονεὶ ἡ ἐγκυκλοπαιδεία τοῦ πέμπτου αἰῶνος· περιλαμβάνει ἁπάσας τὰς ἐποχάς, ἅπαντα τὰ ζητήματα, καὶ ἅπασιν ἀποκρίνεται. Ἔστι τὸ χριστιανικὸν ποίημα τοῦ πεπρωμένου ἡμῶν ἐν ταῖς ἀναφοραῖς αὐτοῦ πρὸς τὴν ἀρχὴν καὶ τὸ τέλος ἡμῶν. Ἡ πόλις τοῦ Θεοῦ καὶ αἱ Ἐξομολογήσεις, ἀπὸ δεκατεσσάρων αἰώνων ἀναγινωσκόμεναι καὶ πολλάκις ἀνελιττόμεναι, ἔσονται ἔτι ἀναγινωσκόμεναι καὶ ἀνελισσόμεναι ἕως ἂν ὑπάρχῃ ἴχνος ἀνθρωπίνων γραμμάτων, διότι ἀμφότερα ταῦτα τὰ συγγράμματα, ὧν ὑπόθεσις ὁ Θεὸς καὶ ὁ ἄνθρωπος, τηροῦσι τὸ διάφορον αὐτῶν, καίπερ τῶν καιρῶν μεταβαλλομένων.

Ἡ πόλις τοῦ Θεοῦ κλείει τὸν ἐθνικὸν κόσμον μετὰ τῶν μύθων καὶ τῆς φιλοσοφίας αὐτοῦ, μᾶλλον δὲ τὸ ἔπος τοῦ ἁγίου Αὐγουστίνου ἐστὶ πανηγυρικὴ κρίσις τοῦ παρελθόντος, ὅπερ εὑρίσκεται καταδεδικασμένον μετὰ τελείαν δίκην. Ὡς ἡ ἀρχαία Αἴγυπτος ἐδίκαζε τοὺς βασιλεῖς αὐτῆς πρὶν ἢ ἐνταφιάσῃ αὐτούς, οὕτως ὁ χριστιανισμός, διὰ τοῦ στόματος τοῦ Αὐγουστίνου ἐρωτᾷ τοὺς θεοὺς τοῦ παλαιοῦ κόσμου καὶ τοὺς βασιλεῖς τῆς ἀνθρωπίνης διανοίας, δείκνυσι ἐκείνοις μὲν τὴν ἀδυναμίαν αὐτῶν ἐπαμῦναι τοῖς λαοῖς, οἳ προσεκύνουν αὐτούς, τούτοις δὲ τὴν ἀσθένειαν αὐτῶν ἀναβῆναι μέχρι τῆς ἀληθείας διὰ μόνων τῶν πτερύγων

Ἄλλα ἀπολογητικὰ συγγρ. τοῦ Αὐγουστ. εἰσὶ τάδε: Κατὰ τῶν Ἀκαδημαϊκῶν τρία βιβλία (contra Academicos lib. III), ἐν οἷς ἀπελέγχων τὴν σκεπτικὴν αἵρεσιν τοῦ ἀκαδημαϊκοῦ ἄγει αὐτὸν εἰς τὴν ἀληθῆ φιλοσοφίαν—τὸν χριστιανισμόν [β]· β΄] βιβλίον περὶ τῆς ἀθανασίας τῆς ψυχῆς (liber de immortalitate animæ)· γ΄] βιβλίον περὶ τῆς ποσότητος τῆς ψυχῆς (liber de quantitate animæ)· δ΄] βιβλίον περὶ τοῦ διδασκάλου (liber de magistro). Τὸ βιβλίον τοῦτό ἐστι διάλογος μεταξὺ αὐτοῦ καὶ τοῦ υἱοῦ αὐτοῦ Ἀδεοδάτου περὶ τοῦ ὅτι ἡ αἰώνιος ἀλήθεια, ὁ Ἰησοῦς Χριστός, ὁ Λόγος τοῦ Θεοῦ, ἐστὶν ὁ μόνος καὶ ἀληθὴς ἡμῶν διδάσκαλος, καὶ ὅτι ἡ μακαρία ζωὴ συνίσταται ἐν τῷ γινώσκειν καὶ ἀγαπᾷν Αὐτόν [γ]· ε΄] βιβλίον περὶ τῆς ἀληθοῦς θρησκείας (liber de vera religione). Ἐν τῷ συγγράμματι τούτῳ ἀποδείκνυται, ὅτι ἡ ἀληθὴς θρησκεία, ἡ συνίσταται ἐν τῇ γνώσει καὶ τῇ προσκυνήσει τῆς παναγίας Τριάδος, οὔτε παρὰ τοῖς φιλοσόφοις καὶ τοῖς Ἰουδαίοις, οὔτε παρὰ τοῖς αἱρετικοῖς καὶ τοῖς σχισματικοῖς ἐστιν, ἀλλ' ἐν μόνῃ τῇ καθολικῇ Ἐκκλησίᾳ [δ]· ς΄] βιβλίον

τοῦ πνεύματος, καὶ ποιεῖται κατάδηλον τὴν ἐντελῆ αὐτῶν ἧτταν· ἔπειτα ᾄδει τὰ ἐντάφια τῶν θεῶν καὶ τῶν φιλοσόφων, καὶ καθέζεται νικητὴς ἐπὶ τοῦ τάφου αὐτῶν, σφραγισθέντος τῇ ἰσχυρᾷ αὐτοῦ χειρί». (Hist. de Saint. Aug. T. 2. pag. 421-22). Σ. Μ.

[β] «Scripsi, λέγει ὁ μακάριος Αὐγουστῖνος, ut argumenta eorum, qui multis ingerunt veri inveniendi disperationem, et prohibent cuiquam rei assentiri et omnino aliquid tanquam manifestum certumque sit, approbare sapientem, cum iis omnia videntur obscura et incerta, ab animo meo, quia et me monebant, quantis possem rationibus amoverem». Retract. l. I. n. I. Πρβλ. De Trinitate lib XV n. 12. Σ. Μ.

[γ] Ὁ ἱερὸς Αὐγουστῖνος ἔγραψε τὸ βιβλίον τοῦτο, ὅτε ὁ Ἀδεοδάτος ἦγε τὸ 16ον ἔτος, δηλ. περὶ τὰ μέσα τοῦ 389ου ἔτους. Λέγει δ' ὅτι ἅπασαι αἱ ἐν τῷ ὀνόματι τοῦ Ἀδεοδάτου γραφεῖσαι ἰδέαι ἀνήκουσιν εἰς αὐτόν, καίπερ πάνυ νέον ὄντα. «Ἐγὼ αὐτός, προστίθησιν, εἶδον πράγματα πολλῷ θαυμαστότερα περὶ τούτου τοῦ παιδίου, καὶ τὸ μεγαλεῖον τοῦ πνεύματος αὐτοῦ ἐξέπληττέ με». Σ. Μ.

[δ] Τὸ σύγγραμμα τοῦτό ἐστιν ὄντως πλείστου ἄξιον. Ἐξ αὐτοῦ πλεῖστα ὅσα δύνανται ἀρύσασθαι καὶ οἱ φιλόσοφοι καὶ οἱ θεολόγοι. Εἰ καὶ

περὶ τῆς μακαρίας ζωῆς (liber de beata vita). Ἐν τῷ βιβλίῳ τούτῳ ἀποδείκνυσιν ὁ θεσπέσιος Πατήρ, ὅτι «ἡ μακαρία ζωὴ συνίσταται μόνον ἐν τῇ τελείᾳ γνώσει τοῦ Θεοῦ» [ε]· ζ′] βιβλίον περὶ τῆς πίστεως τῶν πραγμάτων, ἅτινα οὐχ ὁρῶνται (liber de fide rerum, quæ non videntur). Ἐν τῷ βιβλίῳ τούτῳ δείκνυται, ὅτι ἡ πίστις καθόλου ἐστὶν ἀναγκαία ἐν τοῖς ἀνθρωπίνοις πράγμασι, καὶ ὅτι ἐν τῇ χριστιανικῇ θρησκείᾳ οὐκ ἐπιμέπτῳ προπετείᾳ, ἀλλ᾽ ἐπαινετῇ πίστει ὀφείλομεν πιστεύειν, ἃ τοῖς ὀφθαλμοῖς ἡμῶν οὐχ ὁρῶμεν· η′] βιβλίον περὶ τῆς ὠφελείας τοῦ πιστεύειν (liber de utilitate credendi). Ἐν τῷ βιβλίῳ τούτῳ δείκνυται, ὅτι τὸ πιστεύειν ἐκείνῳ, ὅπερ ἐστὶν ἄξιον πίστεως, οὐκ ἔστι κουφόνοια, ἀλλὰ σοφία. θ′] πραγ-

---

προὐτίθετο ὁ θεῖος Πατὴρ ἐκθεῖναι μόνον τῷ φίλῳ αὐτοῦ Ρωμανιανῷ τὴν εὐαγγελικὴν πίστιν, ὅμως ἀπέδειξε σύναμα ὡς ἄριστα καὶ τὸ ἀληθὲς αὐτῆς. Ἀναγνοὺς αὐτὸ ὁ Ρωμανιανὸς ἐγένετο Χριστιανός. Ὁ κατὰ τὸν ιζ′ αἰῶνα ἀκμάσας σοφὸς Ἀρνώλδης (Arnauld) εἶπε περὶ αὐτοῦ τάδε: «Τὸ σύγγραμμα τοῦτο οὐ δεῖται τῶν ἐμῶν ἐπαίνων· ἡ ἀνάγνωσις αὐτοῦ ἀρκεῖ καταστῆσαι κατάδηλον τὸ ἔξοχον αὐτοῦ. Οὐκ ἀμφιβάλλω, ὅτι τοῦτο, εἴπέρ τι καὶ ἄλλο, καταδείκνυσι τήν τε μεγαλοφυΐαν καὶ τὴν σοφίαν τοῦ ἀπαραμίλλου αὐτοῦ συγγραφέως. Τίς ὄντως δύναται μὴ θαυμάσαι, ὅτι ὁ Αὐγουστῖνος, καίπερ οὐκ ἀπὸ πολλοῦ διδαχθεὶς τὰ δόγματα τῆς χριστιανικῆς θρησκείας, καὶ μόνον τὸ ἀξίωμα τοῦ ἁπλοῦ πιστοῦ ἐν τῇ Ἐκκλησίᾳ ἔχων, ἠδυνήθη πραγματεύσασθαι τοσοῦτον εὐγενῶς καὶ ὑψηλῶς περὶ τῆς θρησκείας, ἣν αὐτὸς ὁ Υἱὸς τοῦ Θεοῦ κατέστησεν ἐπὶ τῆς γῆς, καὶ λαβεῖν τοσοῦτον ἔξοχον ἔννοιαν τοῦ ὕψους καὶ τοῦ μεγαλείου αὐτῆς, ὥστε μηδένα δύνασθαι ἀκολουθῆσαι διὰ τῶν ὀφθαλμῶν τῇ πτήσει τούτου τοῦ ἀετοῦ, διϊδεῖν τὴν ἰσχὺν τῶν συλλογισμῶν αὐτοῦ, καὶ θεωρῆσαι ἃς ἐκτίθησιν ὑψηλὰς διδασκαλίας ἄνευ τοῦ θαμβωθῆναι ὑπὸ τοσοῦτον λαμπροῦ φωτός;» (Au lecteur du livre de la veritable Religion. Paris, 1847). Σ. Μ.

[ε] Τῇ ιγ′ Νοεμβρίου (τῷ 386), ἡμέρᾳ τῶν γενεθλίων αὐτοῦ, ὁ ἅγιος Αὐγουστῖνος προσεκάλεσεν εἰς δεῖπνον ἅπαντας τοὺς ἑαυτοῦ φίλους, ἐκτὸς τοῦ Ἀλυπίου ἐν Μεδιολάνοις διατρίβοντος. Μετὰ τὸ δεῖπνον προὐβάλετο αὐτοῖς ἐρωτήματα περὶ τῆς μακαριότητος. Κατὰ τὰς ἐπιούσας δύο ἡμέρας συνδιελέχθη αὐτοῖς περὶ τῆς αὐτῆς ὑποθέσεως, καὶ ἐπέρανε ταύτας τὰς συνδιαλέξεις διὰ λόγου περὶ τῆς παναγίας Τριάδος. Σ. Μ.

ματεία κατὰ τῶν Ἰουδαίων (Tractatus adversus Judaeos). Ἐν τῇ πραγματείᾳ ταύτῃ ἑρμηνεύει ὁ θεῖος Πατὴρ τὰς προφητείας περὶ τοῦ Ἰησοῦ Χριστοῦ καὶ περὶ τῆς καταργήσεως τῶν θυσιῶν (¹).

Τὰ δογματικὰ συγγράμματα τοῦ Αὐγουστίνου εἰσὶ τάδε: α΄] Ἐγχειρίδιον πρὸς Λαυρέντιον, ἢ βιβλίον περὶ πίστεως, ἐλπίδος καὶ ἀγάπης· β΄] βιβλίον περὶ τοῦ ἀγῶνος τοῦ Χριστιανοῦ. Ἐν τῷ βιβλίῳ τούτῳ δείκνυσιν ὁ Αὐγουστῖνος πῶς δεῖ ἀποφεύγειν τὸ κακὸν καὶ ἐπιτελεῖν τὴν χριστιανικὴν διδασκαλίαν, ἣν ἐκτίθησι διὰ βραχέων· γ΄] βιβλίον περὶ τῆς πίστεως καὶ τοῦ συμβόλου (liber de fide et Symbolo). Τὸ βιβλίον τοῦτο περιέχει βραχεῖαν ἑρμην. τοῦ λεγομένου συμβόλου τῶν Ἀποστόλων. Ἐγράφη ὑπὸ τοῦ Αὐγουστίνου, πρεσβυτέρου ἔτι ὄντος (τῷ 393). δ΄] βιβλίον περὶ τοῦ συμβόλου πρὸς τοὺς κατηχουμένους (liber de Symbolo ad Catechumenos). Ἐν τῷ συγγράμματι τούτῳ διδάσκει: «Ἅπαξ πλυνόμεθα τῷ βαπτίσματι, καθ' ἑκάστην τῇ προσευχῇ. Μὴ ποιεῖτε ἐκεῖνο, ἐφ' ᾧ ἐχρῆν ἂν χωρίσαι ὑμᾶς τοῦ σώματος τοῦ Χριστοῦ. Οἱ ἐπιτελοῦντες, ὡς ὁρᾶτε, τὴν μετάνοιαν, ἐπετέλεσαν ἀνομίας, ἢ μοιχείαν, ἢ ἄλλην τινὰ βαρεῖαν ἁμαρτίαν . . . . Αἱ ἁμαρτίαι τοίνυν ἀφίενται ἐν τῇ Ἐκκλησίᾳ

(¹) Τὸ ῥηθὲν ἐν τῷ περὶ τῆς ἀληθοῦς θρησκείας (de vera Religione) συγγράμματι ὡς πρὸς τὴν κατάπαυσιν τῶν θαυμάτων κατὰ τὸν χρόνον αὐτοῦ διώρθωσε κατόπιν ὧδε: «Sed non sic accipiendum est quod dixi, ut nunc in Christi nomine fieri miracula nulla credantur. Nam ego ipse quando istum ipsum librum scripsi, ad Mediolanensium corpora martyrum in eadem civitate caecum illuminatum fuisse jam noveram, et alia nonnula, qualia tam multa etiam istis temporibus fiunt, ut nec omnia cognoscere, nec ea quæ cognoscimus, enumerare possimus». Retract. lib. I, c. 13, n. 7. [Τῶν συγγραμμάτων τούτων, ἅτινα, κατὰ τὸν συγγραφέα, εἰσὶν ἀπολογητικά, τὰ μέν εἰσι φιλοσοφικά, ὡς τὰ contra Academicos, de immortalitate animæ, de quantitate animæ, de magistro, de beata vita, τὰ δὲ δογματικά, ὡς τὸ de vera religione, καὶ τὸ de fide rerum, quæ non videntur. Δογματικὰ ἅμα καὶ πολεμικά εἰσι τὰ de civitate Dei, de utilitate credendi, contra Judaeos. Ἐν τούτοις τακτέον καὶ τὸ βιβλίον de divinatione daemonum. Σ. Μ.]

τριπλῇ, τῷ βαπτίσματι, τῇ προσευχῇ, τῇ μετανοίᾳ» · ε΄] βιβλία δύο περὶ τῆς τάξεως (liber II de ordine), πραγματευόμενα περὶ τοῦ εἰ ἅπαντα, οὐ μόνον τὰ ἀγαθά, ἀλλὰ καὶ τὰ κακὰ συνέχει ἡ τάξις τῆς Θείας Προνοίας [ζ] · ς΄] βιβλία 15 περὶ τῆς Τριάδος (libri 15 de Trinitate) (¹). Ὅπως ἴδῃ τις τίνι τρόπῳ ἐθεολόγει ἅμα καὶ ἐφιλοσόφει ὁ Αὐγουστῖνος, παρατιθέμεθα ἐκ τοῦ ε΄ βιβλίου § 4 τοῦ συγγράμματος τούτου τὸ χωρίον τόδε : «Nihil in Eo (Deo) secundum accidens dicitur, quia Ei nihil accidit, nec tamen omne, quod dicitur, secundum substantiam dicitur. Quam ob rem quamvis diversum sit Patrem esse et Filium esse, non est tamen diversa substantia, quia hoc non secundum substantiam dicitur, sed secundum relationem, quod tamen non est accidens, quia non est mutabile» . Παρόμοιοι λογικαὶ διαιρέσεις, ξηραὶ καὶ ἐπιτετηδευμέναι, ἀπαντῶσι συχνῶς παρ᾽ αὐτῷ, ἐν ᾧ οἱ Ἕλληνες διδάσκαλοι, περὶ τοιούτου ζητήματος ὄντος τοῦ λόγου, χρῶνται πρὸς ἐξήγησιν τῶν μυστηρίων τῆς πίστεως εἰκόσι λαμβανομέναις ἐκ τῆς ὑλικῆς φύσεως, καὶ δι᾽ αὐτῶν ζωοποιοῦσι τὴν ἐξεικόνισιν τῆς πνευματικῆς ὑποθέσεως. Ἐντεῦθεν ὁ Αὐγουστῖνος, εἰ καὶ οὐχ ἅπαξ ποιεῖται λόγον ἐν τῷ περὶ τῆς παναγίας Τριάδος συγγράμματι αὐτοῦ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐκ τοῦ Πατρός (²), ὅμως ἔσθ᾽ ὅτε περὶ πολλοῦ ποι-

[ζ] Τὸ σύγγραμμα τοῦτό ἐστι φιλοσοφικὸν μᾶλλον ἢ δογματικόν, περιέχον πάνυ ὑψηλὰς ἰδέας, καὶ ἔστιν ἄξιον ἀναγινώσκεσθαι καὶ ἐπαναγινώσκεσθαι ὑπὸ παντὸς ἀνθρώπου, ὅς, διερχόμενος τὴν γῆν, οὐκ ἔστιν ὅμοιος τοῖς ἀλόγοις ζώοις, ὧν οἱ ὀφθαλμοὶ οὐδέποτε αἴρονται πρὸς τὸν οὐρανόν. Σ. Μ.

(¹) Πάνυ ὠφέλιμαι ὡς πρὸς τὴν περὶ τῆς παναγίας Τριάδος διδασκαλίαν εἰσὶ τὰ κατὰ τῶν Ἀρειανῶν συγγράμματα αὐτοῦ : liber contra Sermonem Arianorum, collatio cum Maximino, libri duo contra eundem Maximinum Arianum. Φιλοσοφικὰ ἅμα καὶ θεολογικὰ συγγράμματά εἰσι τὰ de anima et ejus origine (T. X p. 334), epistola ad Hieronymum de origine animæ (T. II, p. 583), responsiones ad quaestiones 83, de octo Dulcitii quaestionibus (T. VI), de anima ep. 143, 164, 166, 188, 190, de fine saeculi ep. 197-199, de incarnatione Filii Dei.

(²) Lib. IV c. 20, XV 17. Κατὰ τὸν Προκόποβιτζ (Tract. de processione Spiritus S. cum notis Damasceni. Gothæ, 1742). Βλ. καὶ

σύμενος τὰς λογικὰς λεπτολογίας, οὐκ ἐξεφράζετο ἁπανταχοῦ μετὰ τῆς προσηκούσης προσοχῆς περὶ ταύτης τῆς ὑποθέσεως [η].

Πολεμικὰ συγγράμματα τοῦ Αὐγουστίνου (1).

α΄) Κατὰ τῶν Μανιχαίων.

Τὰ συγγράμματα, ἐν οἷς ἀπελέγχει τὰς πλάνας τῶν Μανιχαίων εἰσὶ τάδε: α΄) De Genesi contra Manichaeos lib. II. β΄) Liber contra Adimantum. γ΄) Libri XXXIII contra Faustum Manichaeum. δ΄)

Enchirid. ad Laurentium c. 9, de fide et Symbolo c. 19. Ὁ αὐτὸς Προκόπιβιτζ ἐλέγχει τὴν διαφθορὰν πολλῶν χωρίων περὶ τοῦ ἁγίου Πνεύματος παρὰ τῷ Αὐγουστίνῳ p. 119-130, 288-289.

[η] Ἐν τοῖς δογματικοῖς συγγράμμασι τοῦ ἁγ. Αὐγουστίνου τάσσονται καὶ τὰ liber de fide et operibus, libri II· de conjugiis adulterinis, liber· de cura gerenda pro mortuis· de resurrectione mortuorum tractatus duo. Δογματικαὶ αὐτοῦ ἐπιστολαί, ἐκτὸς τῶν ὑπὸ τοῦ συγγραφέως ἀνωτ. σ. 61 σημ. 1 μνημονευθεισῶν, εἰσὶ α΄) αἱ 118, 160, 162, ἐν αἷς ποιεῖται λόγον περὶ τῆς φύσεως καὶ τῆς ὑπάρξεως τοῦ Θεοῦ· β΄) αἱ 120, 169, 170, 238-242 περὶ τοῦ μυστηρίου τῆς παναγίας Τριάδος· γ΄) ἡ 187 περὶ τῆς παρουσίας τοῦ Θεοῦ, μάλιστα ἐν τῇ ἀνθρωπίνῃ ψυχῇ· δ΄) ἡ 169 περὶ τῆς ἐπιφανείας τοῦ ἁγίου Πνεύματος ἐν εἴδει περιστερᾶς· ε΄) ἡ 164 περὶ τῆς εἰς τὸν ᾅδην καθόδου τοῦ Ἰησοῦ Χριστοῦ· ς΄) ἡ 138 περὶ τοῦ ἐξόχου τῆς χριστιανικῆς θρησκείας· ζ΄) ἡ 196 περὶ τῆς καταργήσεως τοῦ μωσαϊκοῦ νόμου· η΄) αἱ 159 καὶ 162 περὶ τῶν ἐπιφανειῶν τῶν τεθνεώτων· θ΄) αἱ 95 καὶ 205 περὶ τῆς ἰδιότητος τοῦ δεδοξασμένου σώματος· ι΄) αἱ 16 καὶ 17 κατὰ τῶν πλανῶν τῶν ἐθνικῶν. Βλ. καὶ ἐπ. 102· ια΄) αἱ 79 καὶ 236 κατὰ τῶν πλανῶν τῶν Μανιχαίων· ιβ΄) ἡ 237 κατὰ τῶν πλανῶν τῶν Πρισκιλλιανιστῶν· ιγ΄) ἡ 265 κατὰ τῶν Ναυατιανῶν· ιδ΄) αἱ 51 καὶ 70 κατὰ τῶν πλανῶν τῶν Δονατιστῶν· ιε΄) αἱ 157 καὶ 175 κατὰ τῶν πλανῶν τῶν Πελαγιανῶν· ις΄) αἱ 170, 171, 238-241 κατὰ τῶν πλανῶν τῶν Ἀρειανῶν. Τῶν τελευταίων τούτων αἱρετικῶν τὰς πλάνας ἀνεσκεύασε καὶ ἐν τοῖς λόγοις 52, 117, 118, 126, 135, 139, 140, 183, 341 καὶ 384. Σ. Μ.

(1) Ἐκτὸς τῶν κατὰ τῶν μερικῶν πλανῶν συγγραμμάτων ἐγράφη ὑπ' αὐτοῦ τὸ βιβλίον *de haeresibus*, ἔνθα γίγνεται λόγος περὶ 88 αἱρέσεων ἀπὸ Σίμωνος τοῦ μάγου μέχρι τοῦ Πελαγίου.

Liber contra Epistolam Manichaei, quam vocant fundamenti. ε') De actis cum Felice Manichaeo lib. II. ς') Liber de natura boni. ζ') Liber de duabus animabus. η') Acta seu Disputatio contra Fortunatum Manichaeum. θ') Libri III de libero arbitrio. ι') Liber contra Secundinum. ια') Libri II contra Adversarium Legis et prophetarum ([1])

β') Κατὰ τῶν Δονατιστῶν·

Ἐκ τῶν κατὰ τῶν Δονατιστῶν συγγραφέντων συγγραμμάτων διεσώθησαν 12, ἅ εἰσι τάδε: α') Psalmus contra partem Donati· β') Contra epistolam Parmeniani lib. III. γ') Contra literas Patitiani lib. III. δ') Libri IV contra Cresconium. ε') Libri VII de Baptismo. ς') Liber de unico baptismo contra Petilianum. ζ') Epistola ad Catholicos contra Donatistas, ἥτις κοινῶς λέγεται liber de unitate Ecclesiæ. η') Breviculus collationis cum Donatistis. θ') Liber ad Donatistas post collationem. ι') Sermo ad Caesarensis Ecclesiæ plebem· ια') Liber de gestis cum Emerito. ιβ') Libri II contra Gaudentium ([2]). Κυρία αὐτῶν ὑπόθεσίς ἐστιν ἡ ἁ γ ί α Ἐ κ κ λ η σ ί α. Καὶ ἰδοὺ πῶς ἀποφαίνεται περὶ αὐτῆς ὁ μακάριος διδάσκαλος: 1) Ἀληθὴς Ἐκκλησία τοῦ Χριστοῦ ἐστιν ἡ Οἰκουμενικὴ Ἐκκλησία· ἐκείνη, ἥ, οἰκοδομηθεῖσα ἐπὶ τοῦ θεμελίου τῶν Προφητῶν καὶ τῶν Ἀποστόλων καὶ ἐρηρεισμένη ἐπὶ τοῦ ἀκρογωνιαίου λίθου (τοῦ Χριστοῦ), ἐξαπλοῦται ἀν' ἅπασαν τὴν Οἰκουμένην· ἐν τῷ προσώπῳ τῶν διαδόχων τοῦ ἀποστολικοῦ ὑπουργήματος καὶ τῶν κηρύκων τῆς εὐαγγελικῆς διδασκαλίας. Οὐ ζητητέον τοίνυν αὐτὴν ἐν οἱᾳδήποτε αἱρέσει, ἀλλ' ἐν τῇ ἑνότητι ἁπασῶν τῶν Ἐκκλησιῶν, τῶν ἐχουσῶν γενικὴν μὲν ἀρχὴν τὴν ἀποστολικὴν Ἐκκλησίαν, βάσιν δὲ τὴν ἁγίαν Γραφήν ([3]). 2) Ὁ

([1]) Τὰ ἄριστα τῶν συγγραμμάτων τούτων εἰσὶ τὰ contra Secundinum, contra Faustum Manichaeum, καὶ de actis cum Felice Manichaeo. Αἱ κύριαι ὑποθέσεις, περὶ ὧν πραγματεύεται ὁ Αὐγουστῖνος ἐν τοῖς συγγράμμασι τούτοις, εἰσὶν ἡ οὐσία τοῦ Θεοῦ καὶ ἡ ἀρχὴ τοῦ κακοῦ. [Δογματικὰ ἅμα καὶ πολεμικὰ κατὰ τῶν Μανιχαίων συγγράμματά εἰσι τά: Liber de utilitate credendi, libri II de moribus Ecclesiæ Catholicæ et de moribus Manichaeorum, Σ. Μ.].

([2]) Ὑπὸ τοῦ αὐτοῦ Πατρὸς ἐγράφησαν 41 ἐπιστ. ἀφορῶσαι εἰς τοὺς Δονατιστάς.

([3]) Contr. Parmen. l. I, c. 1. 7. de unitate Ecclesiæ c. 9.

χωριζόμενος τῆς Ἐκκλησίας ἀποβάλλει τοὺς καρποὺς τοῦ μετ᾽ αὐτῆς συνδέσμου καὶ στερεῖται τῆς χάριτος τοῦ Θεοῦ· ὡσαύτως ὁ γεννηθεὶς καὶ ἀνατραφεὶς ἐκτὸς τοῦ μετὰ τῆς Ἐκκλησίας συνδέσμου, καὶ εἰ ἐσφραγίσθη τοῖς χριστιανικοῖς μυστηρίοις, οὐ λαμβάνει τὴν σωτήριον δύναμιν τῶν μυστηρίων ὡς ἀσθενής [θ]. Οὐ μὴν ἀλλὰ ὅτε ὁ τελευταῖος ἑνοῦται μετὰ τῆς Ἐκκλησίας, οὐ δεῖ ἐπαναλαμβάνειν ἐπ᾽ αὐτοῦ τὰ μὴ ἐπαναλαμβανόμενα μυστήρια, διότι οὐκ ἐσπάνιζεν αὐτῶν τῶν μυστηρίων, ἀλλὰ μόνον τῆς σωτηρίου αὐτῶν ἐνεργείας (1). 3) Ἡ Ἐκκλησία οὐ παύεται οὖσα ἁγία, ὄντων ἐν αὐτῇ ἀναξίων λειτουργῶν καὶ ἁμαρτωλῶν μελῶν. Οὔτε οἱ Ἀπόστολοι, οὔτε αὐτὸς ὁ Χριστὸς ἐξέβαλλον τοὺς ἁμαρτωλοὺς τῆς κοινωνίας αὐτῶν,

---

[θ] Ἐν τῇ ρμα΄ ἐπιστολῇ λέγει ὁ θεσπέσιος Πατήρ: «Ὅστις ἂν χωρισθῇ ταύτης τῆς καθολικῆς Ἐκκλησίας, καίπερ ἡγούμενος διάγειν βίον ἐπαινετόν, τούτου μόνον τοῦ ἀνοσίου ἔργου ἕνεκεν, ὅτι ἐχωρίσθη τῆς ἑνότητος τοῦ Χριστοῦ, οὐχ ἕξει ζωήν, ἀλλ᾽ ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ᾽ αὐτόν» [quisquis ab hac catholica Ecclesia fuerit separatus, quantum libet laudabiliter se vivere existimet, hoc solo scelere, quod a Christi unitate disjunctus est, non habebit vitam, sed ira Dei manet super eum»]. Καὶ ἐν τῇ ρπε΄ ἐπιστολῇ λέγει: «Μόνη ἡ καθολικὴ Ἐκκλησία ἐστὶ τὸ σῶμα τοῦ Χριστοῦ, ὅς ἐστιν ἡ κεφαλὴ καὶ ὁ Σωτὴρ αὐτῆς. Ἔξω τούτου τοῦ σώματος οὐδένα ζωοποιεῖ τὸ ἅγιον Πνεῦμα . . . οὐκ ἔστι δὲ μέτοχος τῆς θείας ἀγάπης ὁ ἐχθρὸς τῆς ἑνότητος. Οὐκ ἔχουσι τοίνυν Πνεῦμα ἅγιον οἱ ἔξω τῆς Ἐκκλησίας» [Ecclesia Catholica sola corput est Christi, cujus ille caput est Salvator corporis sui. Extra hoc corpus neminem vivificat Spiritus Sanctus . . . non est autem particeps divinæ charitatis qui hostis est unitatis. Hoc habentitaque Spiritum Sanctum qui sunt extra Ecclesiam »]. Ἄριστά εἰσιν ἃ λέγει περὶ Ἐκκλησίας ὁ ἅγ. Αὐγουστῖνος οὐ μόνον ἐν τοῖς κατὰ τῶν Δονατιστῶν συγγράμμασιν αὐτοῦ, ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς: De vera religione, cap. VII., Serm. 46, de past. in Ezech., in psalm. LX. n. 6, in psalm. LXXVII n. 42, Serm II in. psalm. CI n. 8. Ep. 93 n. 30, 31. De syn. n. 63. Ep. 93 n. 31 32. De fide et Symb. n. 21, in Psal. 149 n. 3. De cathech. rudib. c. 7 n. 2. Quaest. 17 in Math. quaest. 11 n. 2. Serm. 88 c. 18. n. 19. Σ. Μ.

(1) De baptismo lib. I, c. 17, 18.

ἀλλὰ μόνον διώρθουν αὐτούς. Οἱοσδήποτε καὶ ἂν ᾖ ὁ ἱερεύς, ὅτε προσεύχεται ὑπὲρ τοῦ λαοῦ, ἡ προσευχὴ αὐτοῦ ἀναβαίνει πρὸς τὸν Θεόν· ὅτε διδάσκει συνῳδὰ τῇ ἁγίᾳ Γραφῇ, αἱ ὁμιλίαι αὐτοῦ εἰσὶ σωτήριοι· ὅτε ἱερουργεῖ, αἱ ἱερουργίαι αὐτοῦ μένουσι μετὰ τῆς δυνάμεως τῶν μυστηρίων τοῦ Χριστοῦ (¹) [ι].

γ') Κατὰ τῶν Πελαγιανῶν.

Τὰ κατὰ τῶν Πελαγιανῶν συγγράμματα τοῦ μακαρίου Αὐγουστίνου εἰσὶ τάδε: Libri IV de anima et ejus origine (περὶ τῆς ψυχῆς καὶ τῆς γενέσεως αὐτῆς)· β') de peccatorum meritis et remissione lib. III (περὶ τῶν ποινῶν τῶν ἁμαρτημάτων καὶ τῆς ἀφέσεως αὐτῶν). Τὸ σύγγραμμα τοῦτο ἐγράφη μετὰ λαμπρᾶς φιλοσοφικῆς κρίσεως· γ') Liber de spiritu et litera (περὶ τοῦ πνεύματος καὶ τοῦ γράμματος), τουτέστι περὶ τοῦ νόμου καὶ τῆς χάριτος [κ]· ἐν τῷ συγγράμματι τούτῳ λύει ὁ θεῖος Πατὴρ τὰς ἀπορίας, εἰς ἃς ἡ ἀνάγνωσις αὐτὴ ἐνέβαλε τὸν Μαρκελλῖνον, καὶ ἀποδείκνυσιν, ὅτι ἡ ὑπερφυσικὴ χάρις ἐστὶν ἀναγκαία πρὸς ἐπιτέλεσιν τοῦ ἀγαθοῦ, καὶ ὅτι ὁ ἄνθρωπος καθόλου οὐ δύναται τηρεῖν τὰς ἐντολὰς τοῦ Θεοῦ ἄνευ ὑπερφυσικῆς βοηθείας· δ') Liber de natura et gratia (περὶ τῆς φύσεως καὶ τῆς χάριτος). Ἐν τούτῳ διδάσκει, ὅτι ἡ ἀνθρωπίνη φύσις ἦν μὲν ἐν τῇ ἀρχῇ καθαρά, ἀλλ' ἠλλοιώθη ὑπὸ τῆς ἁμαρτίας τοῦ Ἀδάμ· ὅτι οἱ ἀπόγονοι τοῦ Ἀδὰμ οὐ γεννῶνται καθαροὶ τὴν φύσιν, ἀλλὰ διεφθαρμένοι· ὅτι χρήζουσι τῆς ἁγιαζούσης χάριτος, ἐν ᾧ ὁ Πελάγιος ἀπεδέχετο μόνον τὴν φωτίζουσαν (τὴν διδασκαλίαν καὶ τὸ πα-

(¹) Contra Parmen. lib. II c. 6-9, 20. Lib. III, c. 4.

[ι] Γράφων πρὸς παρθένον, ἣν ἐσκανδάλιζεν ὁ ἄσεμνος βίος τῶν ποιμένων, λέγει, ὅτι ἀείποτε ἔσονται ἐν τῇ Ἐκκλησίᾳ δύο εἴδη ποιμένων, ἀγαθοὶ καὶ κακοί, ἀλλ' οἱ χωριζόμενοι αὐτῆς οὐ δύνανται εἶναι ἀγαθοί, διότι, εἰ καί τινες αὐτῶν νομίζονται ἀμέμπτως ἔχειν τοῦ βίου, ὅμως ὁ ἀπὸ τῆς Ἐκκλησίας χωρισμὸς αὐτῶν καθίστησιν αὐτοὺς κακούς, τοῦ Κυρίου λέγοντος: «Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει». Epist. 208 ad Feliciam. Σ. Μ.

[κ] Οὕτω λέγει αὐτὸς ὁ Αὐγουστῖνος: *Litera et Spiritus*, quæ duo dicuntur alio modo: *Lex et gratia*. Contra Faustum Manichaeum, l. XV c. 8. Σ. Μ.

ράδειγμα τοῦ Χριστοῦ)· ε΄) Liber de perfectione justitiæ hominis (βιβλίον περὶ τῆς τελειότητος τῆς δικαιοσύνης τοῦ ἀνθρώπου). Ἐν τῷ βιβλίῳ τούτῳ περιγράφει ἀκριβῶς ἐν τίνι συνίσταται ἡ τελεία δικαιοσύνη τῆς τε παρούσης καὶ τῆς μελλούσης ζωῆς, καὶ ἀνασκευάζει τὴν πλάνην τοῦ Καιλεστίου, ὃς τὴν τελείαν δικαιοσύνην τοῦ ἀνθρώπου ἐτίθει ἐν τούτῳ, ὅτι ὁ ἄνθρωπος δύναται ἄνευ τῆς βοηθείας τῆς χάριτος τοῦ Θεοῦ διὰ μόνης τῆς ἑαυτοῦ θελήσεως εἶναι ἄνευ ἁμαρτίας· ς΄) Liber de gestis Pelagii (περὶ τῶν πράξεων τοῦ Πελαγίου). Ἐν τῷ βιβλίῳ τούτῳ περιέχονται τὰ κατὰ τὴν ἐν Διοσπόλει σύνοδον, καὶ δείκνυται ὅτι οἱ ἐπίσκοποι ἀπατηθέντες ὑπὸ τοῦ Πελαγίου ἀπεφήναντο περὶ αὐτοῦ πάνυ εὐνοϊκῶς· ζ΄) De gratia Christi et de peccato originali (περὶ τῆς χάριτος τοῦ Χριστοῦ καὶ περὶ τοῦ προπατορικοῦ ἁμαρτήματος)· Ἐν τῷ συγγράμματι τούτῳ ἀποκαλύπτεται ἡ πανουργία τοῦ Πελαγίου, ὃς προσεποιεῖτο τὸν ὀρθόδοξον διδοὺς τῇ λέξει χ ά ρ ι ς διττὴν σημασίαν· η΄) libri II de nuptiis et concupiscentia (βιβλία δύο περὶ τοῦ γάμου καὶ τῆς σαρκικῆς ἐπιθυμίας). Ἐν τῷ συγγράμματι τούτῳ ἀποκρίνεται ὁ μακάριος Πατὴρ τῇ ἐπιμομφῇ τῶν Πελαγιανῶν, ὅτι ἡ διδασκαλία αὐτοῦ περὶ τοῦ προπατορικοῦ ἁμαρτήματος ἦν βλαβερὰ τῷ μυστηρίῳ τοῦ γάμου. θ΄) Contra duas epistolas Pelagianorum libri IV (κατὰ τῶν δύο ἐπιστολῶν τῶν Πελαγιανῶν βιβλία τέσσαρα). Τὰ βιβλία ταῦτα ἐγράφησαν πρὸς Βονιφάτιον τὸν Α΄, ὃν ἐσπούδαζον οἱ πελαγιανοὶ ἐπίσκοποι πεῖσαι, ὅτι φρονοῦσιν ὀρθοδόξως, καὶ ᾧ πολλὰ ἔλεγον κατὰ τοῦ Αὐγουστίνου. ι΄) Libri VI contra Julianum Pelagianum (βιβλία ἓξ κατὰ Ἰουλιανοῦ τοῦ Πελαγιανοῦ). Ἐν τοῖς βιβλίοις τούτοις ἐπιτίθεται ὁ συγγραφεὺς τῷ Ἰουλιανῷ, ὃς εἰσῆγε τὸν πελαγιανισμὸν εἰς νέαν φάσιν, τὴν τοῦ ἡμιπελαγιανισμοῦ. Τὸ σύγγραμμα τοῦτό ἐστι κατ᾽ ἐξοχὴν ἀξιόλογον κατὰ τοῦτο, ὅτι ἐκτίθεται ἐν αὐτῷ ἡ διδασκαλία τῶν Πατέρων τῆς Ἐκκλησίας περὶ τῆς ἐν τῷ ἀνθρωπίνῳ γένει κληρονομικῆς διαφθορᾶς. «Οὐ μόνον, λέγει, οἱ διδάσκαλοι τῆς Δύσεως, ἀλλὰ καὶ οἱ τῆς Ἀνατολῆς μαρτυροῦσιν, ὅτι ἡ περὶ τοῦ προπατορικοῦ ἁμαρτήματος διδασκαλία μετεδόθη τῇ Ἐκκλησίᾳ ὑπὸ τῶν Ἀποστόλων. Ἅπαντες πιστεύουσιν, ὅτι ἕκαστος ἄνθρωπος γεννᾶται βεβλαμμένος ἕνεκα τῆς πτώσεως τοῦ πρώτου ἀνθρώπου».

ια΄) Opus imperfectum contra Julianum Pelagianum (σύγγραμμα ἡμιτελὲς κατὰ Ἰουλιανοῦ τοῦ Πελαγιανοῦ). Ὁ θεῖος Πατὴρ ἤρξατο τῆς συγγραφῆς τοῦ βιβλίου τούτου ὀλίγον πρὸ τοῦ θανάτου αὐτοῦ· ἐπειδὴ δ᾽ οὐκ ἐπέρανεν αὐτό, ἐπιγράφεται opus imperfectum. ιβ΄) Liber de gratia et liber arbitrio (βιβλίον περὶ τῆς χάριτος καὶ τοῦ αὐτεξουσίου). Ἐν τῷ βιβλίῳ τούτῳ ἀποκρίνεται τοῖς μοναχοῖς τοῦ Ἀδραμυττίου, οἳ ἀναγνόντες τὴν πρὸς τὸν ἱερέα Σῆξτον ἐπιστολὴν αὐτοῦ, ἐνόμιζον, ὅτι ἡ ἐν αὐτῇ περὶ χάριτος διδασκαλία κατέστρεφε τὸ αὐτεξούσιον, καὶ ὅτι, κατ᾽ αὐτήν, οὐ κρινεῖ ἡμᾶς ὁ Θεὸς κατὰ τὰ ἔργα ἡμῶν. ιγ΄) Liber de correptione et gratia [λ] (βιβλίον περὶ ἐπιτιμήσεως καὶ χάριτος). Ἐν τῷ βιβλίῳ τούτῳ ἐκτίθησι τὴν ἀντιπελαγιανὴν αὐτοῦ διδασκαλίαν καὶ ἀναπτύσσει τὴν περὶ προορισμοῦ θεωρίαν αὐτοῦ [μ]. ιγ΄) Liber de praedestinatione Sanctorum (βι-

[λ] Ἔνιοι ἐπιγράφουσι τὸ βιβλίον τοῦτο: De correctione et gratia, ἀλλ᾽ οὐκ ὀρθῶς, ὡς δείκνυται ἐξ αὐτοῦ τοῦ βιβλίου n. 8, 43, 45, 49. Σ. Μ.

[μ] Ὁ ἄνθρωπος, λέγει ὁ μακάριος Αὐγουστῖνος ἐν τῷ συγγράμματι τούτῳ, διαφθαρεὶς ὑπὸ τῆς ἁμαρτίας τοῦ Ἀδὰμ φυσικῶς τε καὶ ἠθικῶς, ἔχει ἔτι τὴν ἐλευθέραν θέλησιν μόνον πρὸς τὸ κακόν, οὐχὶ δὲ καὶ πρὸς σωτήριόν τι ἔργον. Ὁ Θεὸς ἔγνω ἀπ᾽ αἰῶνος δι᾽ ἀμετακλήτου βουλῆς τοὺς μὲν σῶσαι διὰ τοῦ Ἰησοῦ Χριστοῦ ἀπὸ τῆς φθορᾶς, τοὺς δὲ καταλιπεῖν ἐν τῇ φθορᾷ. . . . . Οἱ προωρισμένοι ἐφικνοῦνται τῆς πίστεως διὰ τῆς χάριτος καὶ λαμβάνουσι τὴν χάριν τῆς μέχρι τέλους καρτερήσεως· ἢ οἱ λαβόντες τὴν χάριν τῆς καρτερήσεώς εἰσιν οἱ ἐκλεκτοί, οἱ προωρισμένοι· οἱ δὲ ἄλλοι ἀπορρίπτονται καὶ κατακρίνονται. Οὐδεὶς δ᾽ οἶδε τίς ὁ προορισθεὶς ἢ λαβὼν τὴν χάριν τῆς καρτερήσεως. Ἡ διδασκαλία αὕτη ἀπαντᾷ καὶ ἐν ἄλλοις συγγράμμασι τοῦ θείου Πατρός. «Ἡ διδασκαλία αὕτη, λέγει ὁ κλεινὸς Κοντογόνης, μέγα διήγειρε σκάνδαλον καὶ εἰς αὐτοὺς τοὺς ἐχθροὺς τοῦ Πελαγίου, ἀσυμβίβαστον εὑρίσκοντας αὐτὴν πρός τε τὴν ἁγιότητα τοῦ Θεοῦ καὶ τὴν τοῦ ἀνθρώπου ἐλευθερίαν, ἔτι δὲ ἐπιβλαβῆ καὶ εἰς τὸν ζῆλον τῆς χριστιανικῆς ἀρετῆς. Καὶ φαίνεται μὲν πρῶτος ὑπερασπίσας τὴν ἐλευθέραν τοῦ ἀνθρώπου θέλησιν εἰς τὸ ἀγαθὸν Βιτάλιός τις ἐκ Καρχηδόνος (ἄδηλον δὲ εἰ λαϊκός,) . . . κυρίως δὲ ἐναντίος τοῦ Αὐγουστίνου ἠγέρθη Ἰωάννης ὁ Κασσιανός . . . Οὗτος ὀπαδοὺς ἔχων τοὺς ἐν Μασσαλίᾳ μοναχούς, ἀντίδοξα πρὸς τὸν τῆς Ἀφρικῆς διδάσκαλον ἐφρόνει τε καὶ

βλίον περὶ τοῦ προορισμοῦ τῶν ἁγίων) · ιε΄) Liber de dono perseverantiæ). Ἐν τοῖς δυσὶ τούτοις τελευταίοις βιβλίοις ἐκτίθησι τὴν περὶ προορισμοῦ διδασκαλίαν αὐτοῦ (¹).

Ἡ τοῦ Αὐγουστίνου περὶ τῆς χάριτος διδασκαλία, ἣν ὑπερασπίζει κατὰ τοῦ Πελαγίου, ἐστὶν ἥδε:

1) Διὰ τῆς πτώσεως τοῦ Ἀδὰμ διεφθάρη τέλεον ἡ ἀνθρωπίνη φύσις, καὶ ἀπώλετο παντάπασιν ἡ ἐλευθερία (²).

2) Εἰ ποιεῖ ἀγαθόν τι ὁ ἄνθρωπος, πράττει τοῦτο μόνον κατὰ χάριν.

3) Σώζονται μόνον ἐκεῖνοι, οἵ εἰσιν εἰς τοῦτο προωρισμένοι, καὶ μόνον διὰ τούτους τοὺς ἐκλεκτοὺς τούτου ἦλθεν ὁ Χριστὸς εἰς τὸν κόσμον.

Αἱ τρεῖς αὗται δοξασίαι εὑρίσκονται ἐν στενῷ παρ᾽ ἀλλήλας συνδέσμῳ, διότι αἱ δύο τελευταῖαί εἰσιν ἀναγκαῖον ἐπακολούθημα τῆς πρώτης. Ἐκ τῶν συγγραμμάτων τοῦ Αὐγουστίνου γίνεται κατάδηλον, ὅτι τὸ κατ᾽ ἀρχὰς ὁ θεῖος Πατὴρ ἐθεμελίου τὸν προορισμὸν τοῦ Θεοῦ ἐπὶ τῆς προγνώσεως· ἀλλ᾽ ὅπως ἡ πιστὸς τῇ περὶ τῆς ἀνθρωπίνης φύσεως δοξασίᾳ αὐτοῦ, ὤφειλεν ἀποδέξασθαι ἀπόλυτον προορισμόν· Ὅτε δὲ οἱ μοναχοὶ τοῦ Ἀδραμυττίου παρέστησαν αὐτῷ, ὅτι, κατὰ τὴν διδασκαλίαν αὐτοῦ οὐκ ἔστιν ἀναγκαία αὐτοῖς ἡ νέκρωσις τῶν παθῶν, τότε ᾐσθάνθη τὸ ὀρθὸν τῆς γνώμης αὐτῶν, καὶ ἤρξατο ἐπαναλαμβάνειν συχνότερον, ὅτι ἡ χάρις οὐ καταλύει τὴν ἐλευθερίαν· ἀλλὰ τοῦτο οὐδὲν οὐσιωδῶς μετέβαλεν ἐν τῇ θεωρίᾳ τοῦ Αὐγουστίνου· καὶ αὐτὰ τὰ συγγράμματα, ἅτινα συνέγραψε κατὰ τὰ τελευταῖα ἔτη τοῦ βίου

ἐδίδασκε περὶ προορισμοῦ καὶ χάριτος. . . ». Ἐκκλ. ἱστορ. σελ. 594. Σ. Μ.

(¹) Ἐπιστολὰς ἀφορώσας εἰς τὴν ὑπόθεσιν τοῦ Πελαγίου ἔγραψεν 29 ἐκτὸς τῶν ἱστορικῶν.

(²) Τὸ ἀνθρώπινον γένος ἐστὶ massa perditionis. Peccat. Origin. 21. «Μετὰ τὸ νικηθῆναι τὴν βούλησιν ὑπὸ τῆς φθορᾶς, ᾗ ἐνέπεσεν, οὐκ ἔστιν ἐν τῇ φύσει ἐλευθερία . . . Ἀπωλέσαμεν τὴν ἐλευθέραν βούλησιν τοῦ ἀγαπᾶν τὸν Θεόν». Ep. 219 c. 5. «Διὰ τῆς ἁμαρτίας ἀπώλετο ἡ ἐλευρία, ἡ ἐλευθερία ἐκείνη, ἥτις ἦν ἐν τῷ παραδείσῳ . . . ἀλλ᾽ ἡ ἐλευθέρα βούλησις οὐκ ἀπώλετο παρὰ τῷ ἁμαρτωλῷ . . . Οἱ ἄνθρωποί εἰσιν ἐλεύθεροι ἀπὸ τῆς δικαιοσύνης μόνον κατὰ τὴν ἐλευθέραν βούλησιν, ἐλεύθεροι δ᾽ ἀπὸ τῆς ἁμαρτίας εἰσὶ μόνον κατὰ χάριν». Op. imperf. I, 94.

αὐτοῦ, οὐ συνεφώνουν τῇ τελευταίᾳ ταύτῃ δοξασίᾳ(¹). Ἐρειδόμενος ἐπὶ τῆς πείρας, ἣν αὐτὸς ἔσχε περὶ τοῦ δυσκόλου τῆς διὰ τῆς χάριτος ἀναγεννήσεως, καὶ αἰσθανόμενος βαθὺ τὸ πρὸς τὴν χάριν σέβας, παρεσύρθη ὑπὸ τοῦ αἰσθήματος πέραν τοῦ δέοντος. Τοιούτῳ τρόπῳ ὁ Αὐγουστῖνος ὡς τοῦ Πελαγίου ἐλεγκτής, ἔστι μὲν ἀναμφηρίστως μέγας διδάσκαλος τῆς Ἐκκλησίας, ἀλλ᾽ὑπερασπίζων τὴν ἀλήθειαν, οὐκ ἔστιν αὐτὸς κατὰ πάντα καὶ πάντοτε πιστὸς τῇ ἀληθείᾳ. Ἐντεῦθεν οὐδὲν θαυμαστόν, εἰ ἡ περὶ χάριτος διδασκαλία αὐτοῦ οὐκ ἐγένετο ἐν τῇ Ἀνατολῇ δεκτὴ μετὰ τηλικούτου ἐνθουσιασμοῦ, μεθ᾽ἡλίκου ἐν τῇ Δύσει· Ἡ ἐν Ἐφέσῳ Γ´ Οἰκουμενικὴ Σύνοδος κατεδίκασε μὲν τὴν διδασκαλίαν τοῦ Πελαγίου, ἀλλ᾽ οὐδὲν περὶ τῆς τοῦ Αὐγουστίνου εἴρηκε (²).

(¹) Ἐν τῷ συγγρ. de gratia et libero arbitrio ἔγραψεν, ὅτι ἡ πρόγνωσις τοῦ Θεοῦ οὐκ ἔχει ἀναπόδραστον ἐπιρροὴν ἐπὶ τῆς ἐλευθερίας τοῦ ἀνθρώπου· Ἐν τῷ συγγράμ. Expositio quarumdam propositionum ex epistola ad Romanos ἐστήριζε τὸν προορισμὸν ἐπὶ τῆς προγνώσεως (Propositio 60). Ἐν τῷ συγγράμματι Retractationes lib. I, c. 23 λέγει, ὅτι τοῦτό ἐστιν ἀπάτη. Τῷ 401 ἔγραφεν, ὅτι ἡ λογικὴ ψυχή ἐστιν index generositatis. Nostrum est credere et *velle*, illius autem dare credentibus et volentibus facultatem bene operandi per Spiritum Sanctum (de Genesi ad litteram lib. XI, c. 32). Ἐντεῦθεν καὶ ἐν τοῖς τελευταίοις συγγράμμασιν ἡ damnatio mitissima τῶν ἀβαπτίστων νηπίων. Ἡ δοξασία περὶ τοῦ ἀπολύτου προορισμοῦ ἀπαντᾷ ἐν τῷ πρώτῳ κατὰ Πελαγίου συγγράμματι de peccatorum meritis et remissione lib. II, c. 29, καὶ ἐν τῷ de gestis Pelagii c. 3, πληρέστατα δ᾽ ἀναπτύσσεται ἐν τοῖς συγγράμμασι de correptione et gratia καὶ de praedestinatione Sanctorum. Βλ. Retractation. II, n. 67. Ὡσαύτως ἡ περὶ χάριτος δοξασία ἀπαντᾷ ἐν τῷ συγγράμματι de gratia Christi et de peccato originali : «operari Deum in cordibus hominum non solum veras revelationes, sed etiam bonas voluntates» c. 24. Contra duas epistolas Pelagianorum lib. III c. 8. « Sine gratia nisi ad peccandum valet liberum arbitrium, ad justitiam, non nisi divinitus liberatum adjutum, non valet. Πρβλ. *Voigt* de theoria Augustiniana, pelagiana, semipelagiana, in doctrina de peccato originali, gratia et libero arbitrio. Goetting, 1829. *Wigger's* Darstellung d. Augustinismus, pelagianismus. Hamburg, 1833-34. II, 8.

(²) Φωτ. Ἀναγν. 54.

Ὁποῖος οὖν ἐστὶν ὁ κύριος χαρακτὴρ τοῦ μεγάλου τῆς Δύσεως διδασκάλου;

Ἐκεῖνο, ὅπερ πρὸ πάντων ὁρᾷ τις μετὰ θαυμασμοῦ ἐν τῷ Αὐγουστίνῳ, ἐστὶν ἡ συνένωσις δύο ἰδιοτήτων σπανίως ἀπαντωσῶν ἐν ἑνὶ καὶ τῷ αὐτῷ προσώπῳ. Αὗται δ' εἰσὶ τὸ βαθύ, τὸ ζωηρὸν καὶ ἄφθονον αἴσθημα, καὶ ἡ λεπτοτάτη σχολαστικὴ διάνοια. Ἐν ταῖς Ἐξομολογήσεσιν αὐτοῦ ἐκχεῖται ἐν ἐκτάσεσιν ἀγάπης, ἐν αἰσθήμασι τὰ μάλιστα τρυφεροῖς καὶ διαπύροις, χρῆται γλώσσῃ, οἵᾳ μόνον τὸ αἴσθημα δύναται χρῆσθαι (¹). Τοῦτο ὁρᾶται καὶ ἐν τοῖς συγγράμμασιν, ἅτινα συνέγραψε κατὰ τὰ τελευταῖα ἔτη τοῦ βίου αὐτοῦ. Οὐ μὴν ἀλλὰ μεγάλης δεῖται ὑπομονῆς ὁ βουλόμενος παρακολουθῆσαι διὰ τῆς διανοίας ἅπασι τοῖς ἐν τοῖς συγγράμμασιν αὐτοῦ συνειρμοῖς τῶν ἰδεῶν. Οὐ μόνον ἐν τῇ ἀναγνώσει τῶν πολεμικῶν αὐτοῦ συγγραμμάτων, ἀλλὰ καὶ ἐν τῇ τῶν ὁμιλιῶν ὁ νοῦς τοῦ ἀναγνώστου καταπονεῖται, θεωρῶν τὰ τεχνάσματα τῆς λεπτῆς διανοίας. Κατὰ τῆς ὀρθότητος τῶν συμπερασμάτων τοῦ Αὐγουστίνου οὐδὲν δυνατὸν εἰπεῖν, ἐὰν μόνον ὦσι πισταὶ αἱ ἀρχαὶ αὐτοῦ. Ἡ ἀνάγνωσις τῶν συγγραμμάτων τοῦ Ἀριστοτέλους συνετέλεσε τὰ μάλιστα εἰς τὴν ἀνάπτυξιν τῆς διανοήσεως τοῦ Αὐγουστίνου, καθάπερ ἡ τοῦ Πλάτωνος εἰς τὴν τοῦ αἰσθήματος [ν]. Ὁ διδάσκαλος τῆς Ἱππῶνος εἶχε μὲν ὀρθὴν

(¹) Ἄγων τὸ 46ον ἔτος ἔγραφε: «felicior exspectarem amplexus tuos» (Confession. lib. II 2)· «quid sum, cum mihi bene est, nisi fugens lac tuum, aut fruens te cibo, qui non corrumpitur». (ibid. lib. IV, 1).

[ν] «Ὁ Πλάτων, λέγει ὁ κλεινὸς Paul Janet ἐν τῇ εἰσαγωγῇ, ἣν προέταξε τῆς ὑπ' αὐτοῦ γενομένης μεταφράσεως τῶν Ἐξομολογήσεων τοῦ ἱεροῦ Αὐγουστίνου, ἔδωκε τῷ ἁγίῳ Αὐγουστίνῳ τὴν γνῶσιν τοῦ Θεοῦ, ἀλλ' οὐκ ἐδίδαξεν αὐτὸν τὸ μέσον τοῦ ἀφικέσθαι μέχρις αὐτοῦ. Ὁ Πλάτων ἔγνω τὸν ἐν τῷ Θεῷ Λόγον, ἀλλ' οὐκ ἔγνω τὸν ἐνανθρωπήσαντα Λόγον, οὐκ ἔγνω τὸν Λόγον, Ὃς ταπεινώσας Ἑαυτόν, ὕψωσε τοὺς ἀνθρώπους μέχρις Ἑαυτοῦ. Οὐκ ἔγνω τὸν εἰρηκότα: Ἐγώ εἰμι ἡ ὁδός, καί: Δεῦτε πρός με πάντες οἱ κοπιῶντες... καὶ εὑρήσετε ἀνάπαυσιν ἐν ταῖς ψυχαῖς ὑμῶν....» Ἡ θεολογία τοῦ ἁγ. Αὐγουστίνου, καθάπερ ἡ φιλοσοφία αὐτοῦ, οὐδὲν ἄλλο ἐστίν, ἢ ἡ ἔκφρασις τοῦ βίου καὶ τῶν ἀγώνων τῆς ψυ-

διανόησιν καὶ ἀφθονίαν αἰσθήματος, ἀλλ᾽ οὐχὶ ἐν τῇ αὐτῇ ἀφθονίᾳ καὶ μεταφυσικὸν νοῦν. Ἐν τοῖς συγγράμμασιν αὐτοῦ ὁρᾶται πολλὴ ὀξύνοια καὶ ὀλίγη πρωτοτυπία ἐν ταῖς ἐννοίαις, πολλὴ λογικὴ ἀκρίβεια, ἀλλ᾽ οὐ πολλαὶ ὑψηλαὶ ἰδέαι. Βάσιμον θεολογικὴν παιδείαν ἀδύνατον ἐπ᾽ ἴσης ἀποδοῦναι αὐτῷ. Ὁ Αὐγουστῖνος ἔγραψε περὶ ἁπάντων, ὥσπερ ὁ Ἀριστοτέλης, ἀλλὰ ἔξοχα αὐτοῦ ἔργα ἠδύναντο εἶναι καὶ ἦσαν μόνον ἡ συστηματικὴ ἐξέτασις τῶν ἀντικειμένων καὶ αἱ ἠθικαὶ μελέται. Ἀλλὰ πᾶν ὅ,τι ἐγράφη ὑπὸ τοῦ Αὐγουστίνου ἔμεινεν ἐπὶ μακρὸν χρόνον ἐν τῇ Δύσει κανών, καὶ οὐδεὶς τῶν Πατέρων τῆς Ἐκκλησίας ἔσχεν ἐπ᾽ αὐτῆς τηλικαύτην ἐπιρροήν, ἡλίκην ὁ Αὐγουστῖνος. Ἐκεῖνο, ἐφ᾽ ᾧ κατ᾽ ἐξοχὴν διαπρέπει, ἐστὶν ἡ βαθεῖα καὶ εἰλικρινὴς εὐσέβεια, ἣν ἀποπνέουσιν ἅπαντα τὰ συγγράμματα αὐτοῦ. Μόνον ἀνήρ, οἷος ὁ Αὐγουστῖνος, ἐτόλμησεν ἂν γράψαι τὰς ἐξομολογήσεις τῶν ἁμαρτιῶν αὐτοῦ καὶ δεῖξαι τὰς ἐλλείψεις τῶν ἰδίων συγγραμμάτων τῇ κριτικῇ αὐτῶν ἐξετάσει (Retractationum libri duo). Ὅσον ἦν ταπεινόφρων, δείκνυται καὶ ἐν τῇ σια´ πρὸς τὸν κόμητα Δαρεῖον ἐπιστολῇ αὐτοῦ [ξ].

χῆς αὐτοῦ. Ἐγένετο πλατωνικὸς μέν, διότι εὗρεν ἐν τῷ Πλάτωνι τὸ φῶς· χριστιανὸς δέ, διότι εὗρεν ἐν τῷ Χριστῷ τὴν ἰσχύν. Ὁ μὲν πρῶτος ἀπεκάλυψεν αὐτῷ τὸν ἀόρατον κόσμον, ὁ δὲ δεύτερος ἀπέσπασεν αὐτὸν τοῦ κόσμου τῶν αἰσθήσεων. Ἄνευ τοῦ Πλάτωνος ἔμεινεν ἂν βεβυθισμένος ἐν τῇ μανιχαϊκῇ ὑλοφροσύνῃ· ἄνευ τοῦ Χριστοῦ οὐκ ἂν ἐξετίναξε τὰ δεσμὰ τῆς σαρκός . . . . ἐκ τῶν δύο πτερύγων, αἵτινες, κατὰ τὸν Πλάτωνα, ὑψοῦσιν ἡμᾶς πρὸς τὸν οὐρανόν, τῆς γνώσεως καὶ τῆς ἀγάπης, τὴν μὲν μίαν εὕρισκεν ἐν ταῖς διδασκαλίαις σπανίων τινῶν φιλοσόφων, κατ᾽ ἐξοχὴν τοῦ Πλάτωνος, τὴν δ᾽ ἑτέραν μόνον ἐν τῷ χριστιανισμῷ». p. XII-XIII. Σ. Μ.

[ξ] Περὶ τοῦ μεγάλου τούτου τῆς Ἐκκλησίας Πατρὸς ἄριστα ἐπραγματεύσατο ὁ σοφώτατος Villemain ἐν τῷ ἀξιολόγῳ συγγράμματι αὐτοῦ: Tableau de l'éloquence chrétiene au IV^e siècle. Κατ᾽ αὐτόν, ὁ μακάριος Αὐγουστῖνός ἐστιν ὁ θαυμασιώτατος τῶν ἀνδρῶν τῆς λατινικῆς Ἐκκλησίας, ὁ πλείονα παντὸς ἄλλου φαντασίαν εἰς τὴν θεολογίαν, καὶ πλείονα εὐγλωττίαν καὶ δὴ καὶ εὐαισθησίαν εἰς τὴν σχολαστικὴν φιλοσοφίαν εἰσαγαγών· ὅτι εἰ ἐγεννᾶτο ἐν ἄλλῳ αἰῶνι καὶ ἐν ἄλλῃ χώρᾳ, οὐδέποτε ἐφάνη ἂν ἄνθρωπος μεγα-

§. 200. Παυλῖνος ὁ Νώλης ἐπίσκοπος.

Παυλῖνος (Meropius Pontius Anicius Paulinus), ὁ Νώλης τῆς ἐν Καμπανίᾳ ἐπίσκοπος, εἷλκε τὸ γένος ἐξ εὐγενοῦς καὶ πάνυ πλουσίου οἴκου τῶν Βορδιγάλων (Bordeaux). Διδάσκαλον ἔσχε τὸν περίφημον Δέκιον Μάγνον Αὐσώνιον (¹), ὑφ' ὃν ἔν τε ταῖς ποιητικαῖς καὶ ταῖς ῥητορικαῖς σπουδαῖς θαυμαστὸν ὅσον προέκοψε [α]. Τὰ ἔξοχα αὐτοῦ πνευματικὰ χαρίσματα, ἡ παιδεία [β], καὶ τὸ ἐπιφανὲς τοῦ

λοφυέστερος αὐτοῦ· ὅτι ἦν μεταφυσικός, ἱστορικός, ἀρχαιολόγος, ἐπιστήμων τῶν ἠθῶν, εἰδήμων τῶν τεχνῶν. «Ἔγραψε, λέγει, περὶ τῆς μουσικῆς, ὡς καὶ περὶ τοῦ αὐτεξουσίου· ἐξηγεῖται τὸ διανοητικὸν φαινόμενον τῆς μνήμης, ὡς συλλογίζεται περὶ τῆς πτώσεως τῆς ῥωμαϊκῆς αὐτοκρατορίας· ὁ λεπτὸς καὶ ἰσχυρὸς αὐτοῦ νοῦς κατηνάλωσεν ἐν μυστικοῖς προβλήμασιν ἰσχὺν ἀγχινοίας, ἥτις ἦν ἂν ἀποχρῶσα εἰς ὑψηλοτάτας ἐννοίας». σελ. 366. Σ. Μ.

(¹) Ὁ ποιητὴς καὶ ῥήτωρ Αὐσώνιος ἐγένετο διδάσκαλος τοῦ Γρατιανοῦ, ἔπειτα ἔπαρχος καὶ ὕπατος. Ὁ Παυλῖνος ἐκάλει αὐτὸν πατέρα. (Carm. X. v. 93).

[α] Μεταπεμψαμένου τοῦ αὐτοκράτορος Οὐαλεντινιανοῦ εἰς Ῥώμην τὸν Αὐσώνιον, ὅπως γένηται διδάσκαλος τοῦ υἱοῦ αὐτοῦ Γρατιανοῦ, ὁ Παυλῖνος καταλιπὼν τὰ Βορδίγαλα μετέβη εἰς Ῥώμην, ἔνθα λίαν ἐθαυμάσθη διὰ τὰς κοσμούσας αὐτὸν ἀρετάς, κατ' ἐξοχὴν δὲ διὰ τὴν ῥητορικὴν αὐτοῦ δεινότητα. Σ. Μ.

[β] Τὴν ἔξοχον αὐτοῦ εὐγλωττίαν, εὐγένειαν καὶ εὐφυΐαν τὰ μέγιστα ἐπαινεῖ ὁ ἅγιος Ἀμβρόσιος. «Paulinum, λέγει, splendore generis in partibus Aquitaniæ nulli secundum, venditis facultatibus . . . . Ex illa familia, illa prosapia, illa indole, tanta praeditum eloquentia migrasse a Senatu; interceptam familiæ nobilis successorem, ferri hoc non posse. . . . . » (ep. XXX ad Sabinum). Ὁ Ἰδάτιος λέγει περὶ αὐτοῦ: Paulinus nobilissimus et eloquentissimus, dudum conversione in Deum nobilio factus, vir apostolicus . . . . . » (in Chron. ad annum Honorii 30). Ὁ Εὐχέριος καλεῖ αὐτὸν uberrimum eloquentiæ fontem (ἀφθονωτάτην εὐγλωττίας πηγὴν) (paraenetica epist. ad Valerianum). Ἄριστα λέγει περὶ αὐτοῦ ὁ ἅγ. Ἱερώνυμος: «O si mihi, λέγει, liceret istius modi ingenium, non per Aonios montes, et Heliconis vertices, ut poetæ canunt, sed per Sion et Ithabirium, et Sina excelsa ducere; si contigeret docere quæ didici, et quasi per manus mysteria tra-

γένους, ἀνέωξαν αὐτῷ ἐνωρὶς τὴν πρὸς τὰς ὑψηλὰς τιμὰς ὁδόν. Ἄγων τὸ εἰκοστὸν ἔτος ἐγένετο γερουσιαστής, εἶτα (τῷ 375) ὕπατος, καὶ μετὰ ταῦτα διοικητὴς τῆς πλουσίας Καμπανίας (¹). Πέντε καὶ εἴκοσιν ἔτη γεγονώς, ἐδέξατο προτροπῇ τῆς εὐσεβοῦς αὐτοῦ συζύγου [γ], τοῦ ἁγίου Ἀμβροσίου, καὶ ἄλλων (περὶ τὸ 389) τὸ ἅγιον βάπτισμα [δ]. Εἴασε χαίρειν τὰς τιμάς· διένειμε ταῖς Ἐκκλησίαις καὶ τοῖς ἐνδεέσι τὴν περιουσίαν αὐτοῦ, καὶ ἀπῆλθεν εἰς Ἱσπανίαν τοὺς ἱεροὺς τῆς ἀσκήσεως διαθλήσων ἀγῶνας. Ἡ νίκη, ἣν ἤρατο ἡ πίστις ἐπὶ τοῦ ἐνδόξου καὶ περιφανοῦς ὑπάτου, ἦν μὲν τοῖς φίλοις τοῦ ὀνόματος τοῦ Χριστοῦ θρίαμβος (²), ἀλλὰ καὶ διήγειρε κατ' αὐτοῦ πολλούς. Οἱ φίλοι καὶ οἱ συγγενεῖς ἐγκατέλιπον αὐτὸν καὶ ἐξεφαύλιζον· αὐτοὶ οἱ δοῦλοι, οἷς ἐδωρήσατο τὴν ἐλευθερίαν καὶ χρήματα, ἐτραυμάτιζον αὐτὸν διὰ τῆς πρὸς αὐτὸν ψυχρότητος καὶ

dere Scripturarum, nasceretur nobis aliquid quod docta Graecia non haberet. . . . Si haberes hoc fundamentum (divinas nempe Scripturas); immo si quasi extrema manus operi tuo induceretur, nihil pulchrius, nihil doctius, nihil dulcius, nihilque latinius tuis haberemus voluminibus. . . » (ep. XIII ad Paulinum. Πρβλ. καὶ ep. XXXIV ad Julianum, CIII ad Paulinum). Ὁ Ἔρασμος ὀνομάζει αὐτὸν Χριστιανὸν Κικέρωνα (Not. in Hieron. p. 197). Σ. Μ.

(¹) Hieron. Ep. C. I Paul. de Felice XIII v. 405. Ὁ Αὐσώνιος ἔγραψε: Paulino Ausonius. Metrum sic suasit, ut esses.

Tu prior, et nomen praegredere meum,
quamquam et Fastorum titulo prior, et tua Romæ.
Praecessit nostrum sella curulis ebur. Epist. XX. Ὁ Αὐσώνιος καθίστησι δῆλον, ὅτι ὁ Παυλῖνος κατεῖχε πρὸ αὐτοῦ τὰ ὑπατικὰ ἑδώλια, καὶ ἐντεῦθεν ἦν ὕπατος περὶ τὸ 378. Βλ. Paulin. de Felice. XIII n. 321. Murator. anecd. latin. T. I p. 159 s. Dissert. IX, p. 816. X, p. 823.

[γ] Ὠνομάζετο Θηρασία (Therasia). Ἦν πλουσιωτάτη, σοφή, ἀγαθωτάτη, καὶ ἐφλέγετο ὑπὸ τοῦ πρὸς τὸν Κύριον ἁγιωτάτου ἔρωτος, καθάπερ καὶ ὁ Παυλῖνος. Βλ. Gregor. Tur. in gl. Confessorum c. 107. Ambros. ep. 30. August. ep. 27. Σ. Μ.

[δ] Ἐβαπτίσθη ὑπὸ τοῦ ἐπισκόπου τῶν Βορδιγάλων Δελφίνου. Σ. Μ.

(²) Βλ. Ambros. Ep. 13, 54. August. ep. 130, 27. de Civ. Dei l. I, c. 10. Greg. Turon. lib. II de glor. Confessor. c. 107.

κατεγέλων αὐτοῦ. Ὁ δ᾽ Αὐσώνιος, ὃν ἔσεβεν ὡς διδάσκαλον, ἔγραψεν αὐτῷ σκληρὰς ἐπιμέμψεις, ὅτι δῆθεν ἐπελάθετο τοῦ πρὸς τὴν πατρίδα, τοῦ πρὸς τὴν δόξαν τῶν προγόνων, καὶ τοῦ πρὸς τὰς ἐπιστήμας καθήκοντος(1). Τοῦτο ἦν τῷ Παυλίνῳ δεινὴ δοκιμασία, ἀλλ᾽ ἅπαντα ἤνεγκε γενναίως. Τῷ φίλῳ αὐτοῦ Ἄπρῳ ἔγραψεν: O beata injuria, displicere cum Christo! (Ὦ τῆς μακαρίας ὕβρεως τὸ μετὰ τοῦ Χριστοῦ ἀπαρέσκειν!)(2). Τῷ δὲ διδασκάλῳ ἀπεκρίνατο: «Οὐδαμῶς ὀκνῶ μὴ φανῶ μωρὸς τοῖς τὰ ἐναντία φρονοῦσι, μόνον εἰ ἡ ἐμὴ γνώμη ἐστὶ τῷ αἰωνίῳ Βασιλεῖ σοφή»(3). Τῇ ὑψηλῇ ὅμως τοῦ Παυλίνου αὐταπαρνήσει οὐκ ἠδύναντο καὶ αὐτοὶ οἱ ἐθνικοὶ μὴ ἀπονεῖμαι τιμήν. Ἐν δὲ τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ ἐδείκνυον αὐτὸν ὡς πρότυπον τῆς χριστιανικῆς ἀσκήσεως(4). Ὑπὸ βαθείας ταπεινοφροσύνης κατεχόμενος, ἔχαιρε μᾶλλον ψεγόμενος, ἢ ἐπαινούμενος(5). Οἱ κάτοι-

(1) Ep. XXV ad Paulinum v. 56, p. 361.

(2) Epist. XXXVIII s. Paulini.

(3) Poem. X v. 286-87. Ἐν τῷ αὐτῷ ποιήματι στίχ. 185-89 λέγει:

» . . . . utinam justus me carpere livor
» Incipiat, Christi sub nomine probra placebunt.
» Non patitur tenerum mens Numine firma pudorem.
» Et laus hic contemta redit mihi judice Christo.

Ἐν τοῖς στίχοις 20-24 λέγει:

» Quid abdicatas in meam curam, pater,
» Redire Musas praecipis?
» Negant Camoenis, nec patent Apollini
» Dicata Christi pectora.

(4) Ὁ Αὐγουστῖνος ἔγραφε (τῷ 392) τῷ μαθητῇ αὐτοῦ Λικεντίῳ: «Vade in Campaniam, disce Paulinum, egregium, et sanctum Dei servum, quam grandem fastum seculi hujus, tanto genesiore, quanto humiliore cervice incunctanter excusserit, ut eam subderet Christi jugo, sicut subdidit; et nunc, illo moderatore itineris sui, quietus et modestus exsultat. Vade, disce quibus opibus ingenii, sacrificia laudis ei offerat, refundens illi quidquid boni accepit ex illo; ne amittat omnia, si non in eo reponat a quo haec habet».

(5) Ep. XXIV c. 7. IV 4. LII 3, 4. XL 11. XI 2. [Τὴν ἀνθρωπίνην δόξαν ἡγεῖτο ὁ ἅγ. Παυλῖνος ἐπικίνδυνον ἐχθρόν, καὶ ἀείποτε, ὡς ἀληθὴς μαθητὴς τοῦ Χριστοῦ, ἦν πρᾶος καὶ ταπεινὸς τῇ καρδίᾳ. Τὰ συγγράμματα αὐτοῦ ἀποπνέουσι καθόλου ἀ-

κοι τῆς Βαρκηλλῶνος (Barcellona) ἠνάγκασαν αὐτὸν (τῷ 393) δέξασθαι τὸ ἀξίωμα τοῦ πρεσβυτέρου (1)· ἀλλὰ μετὰ τοῦτο κατέλιπε τὴν Ἱσπανίαν, ἐπεσκέψατο τὸν ἅγιον Ἀμβρόσιον, ὃς περὶ πλείστου ποιούμενος τὰς ἐξόχους αὐτοῦ ἀρετάς, ὠνόμασεν αὐτὸν πρεσβύτερον τῆς ἑαυτοῦ Ἐκκλησίας(2). Κατὰ τὴν εὐσεβῆ ταύτην ὁδοιπορίαν ὑπεδέχοντο αὐτὸν μετ᾽ ἀγάπης καὶ σεβασμοῦ. Μόνον ὁ Ρώμης Σιρίκιος οὐχ εὕρισκεν ἐν αὐτῷ, ὅπερ εὕρισκεν ὁ Ἀμβρόσιος, ὁ Ἱερώνυμος, ὁ Τουρώνης Μαρτῖνος, ὁ Αὐγουστῖνος καὶ ἄλλοι(3). Ὁ θεῖος ἀνὴρ κατῴκησεν ἐν τῇ ταπεινῇ Νώλῃ, ᾠκοδόμησεν οἰκίαν πρὸς ὑποδοχὴν τῶν ξένων, κελλία διὰ τοὺς μοναχούς, διῆγεν αὐστηρὸν ἀσκητικὸν βίον, ἐσπούδαζε περὶ τὰς ἀληθείας τῆς πίστεως, καὶ ἐπέστελλε πολλοῖς ἐπ᾽ εὐσεβείᾳ διαπρέπουσι (4). Τῷ 409 προὐχειρίσθη εἰς ἐπίσκοπον Νώλης. Τὸ ἑξῆς ἔτος οἱ ἄγριοι Γότθοι ἐπόρθουν τὴν Ἰταλίαν. Ὁ ἅγ. Παυλῖνος ἐδέετο τοῦ Κυρίου λέγων: «Domine, non excrucier propter aurum et argentum. ubi enim omnia mea sunt, Tu scis», ἤτοι: («Κύριε, μὴ βασανισθείην διὰ χρυσὸν καὶ ἄργυρον· ὅπου γὰρ ἅπαντα τὰ ἐμά, Σὺ οἶσθα»). Ἡ δέησις αὐτοῦ εἰσηκούσθη (5). Ὁ μα-

---

γάπην καὶ ταπεινοφροσύνην. Λείποτε ἀνομολογεῖ τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ καὶ χαίρει μόνον αἰνῶν Αὐτόν. Ἐντεῦθεν ἔφερε γενναίως τὰ κατ᾽ αὐτοῦ γιγνόμενα ἢ λεγόμενα. Οὐδὲν ἀγαθὸν συνῄδει ἑαυτῷ ποιῶν, ἀλλ᾽ ἅπαντα ἀπεδίδω τῷ Θεῷ. Λιπαρῶς ἐδέετο τῶν φίλων αὐτοῦ μὴ ἐπαινεῖν αὐτὸν λέγων, ὅτι τῷ βάρει μὴ προσήκοντος ἐπαίνου αὐξάνουσι τὸ βάρος τῶν ἁμαρτιῶν αὐτοῦ. «Nisi, λέγει, certo statu diligentes animi momenta libremus, de ipsa humilitate capiemus superbiam; et evanescet species pietatis, si per laudem paupertatis obrepat inflatio. Et quid proderit caruisse divitiis, siremanemus divites vitiis? Epist. XXIV. n. I. Σ. Μ.].

(1) Paul. Ep. I. Ἐνταῦθα γράφει, ὅτι ἐδέξατο τὸ ἀξίωμα τοῦ πρεσβυτέρου, «ut ipsi ecclesiæ Barcinonensi non alligaret, in sacerdotium tantum Domini, non etiam in locum Ecclesiæ dedicatus.

(2) Ep. III ad Alypium n. 4.

(3) Ep. V, n. 13, 14. [Μετὰ τιμῆς καὶ σεβασμοῦ ὑπεδέχθησαν αὐτὸν ἐν Ρώμῃ ὁ πρεσβύτερος Δομνίων, ὃν καλεῖ ἐν τῇ τρίτῃ αὐτοῦ ἐπιστολῇ sanctissimum parentem, ὁ Παμμάχιος, ὁ Μακάριος, καὶ ἄλλοι ἀληθεῖς τοῦ Κυρίου λειτουργοί. Σ. Μ.]

(4) Poem. XII. ep. XXVIII, XVII, XXIII, XLV.

(5) Περὶ τούτου γράφει ὁ Αὐγου-

θητὴς αὐτοῦ Οὐράνιος περιγράφει τὸν ποιμαντικὸν αὐτοῦ βίον ὧδε: Ὅτε δὲ προὐβιβάσθη εἰς τὸ ἀνώτατον τῆς ἱερωσύνης ἀξίωμα, οὐκ ἠβουλήθη παρασχεῖν ἑαυτὸν τοιοῦτον, ὥστε ἐμπνέειν φόβον, ἀλλὰ κατέστησεν ἑαυτὸν τοιοῦτον ἱερέα, ὥστε ἀγαπᾶσθαι ὑφ᾿ἁπάντων. Οὐδέποτε ὠργίσθη οὕτως, ὥστε ἐπιλανθάνεσθαι ἐν τῇ ὀργῇ τῆς εὐσπλαγχνίας. Οὐδὲ γὰρ ἠδύνατο ὀργίζεσθαι ὁ ἀνὴρ ἐκεῖνος, ὃς περιεφρόνει τὰς ὕβρεις καὶ ἀπέφευγε τὰ μίση. Οὐδέποτε ἐδίκασέ τινι ἄνευ ἐλέους, διότι ἐγίνωσκεν, ὅτι τὸ ἔλεός ἐστι κρεῖττον τῆς θυσίας, καὶ ὅτι δεῖ περιβάλλεσθαι δικαιοσύνην πᾶν χριστιανῶν δικαστήριον, τῆς σεβαστῆς Γραφῆς λεγούσης: ἔλεος καὶ κρίσιν ᾄσομαί Σοι, Κύριε. Τὴν δικαιοσύνην ἐκεράννυ τῇ ἠπιότητι, εὖ εἰδὼς ὅτι ὅσον τὸ ἅγ. Πνεῦμά ἐστιν εὔνουν πρὸς τὴν ἐπιείκειαν καὶ τὴν δικαιοσύνην, τοσοῦτον δαψιλῶς δίδωσι τοῖς ἑαυτοῦ τὴν χάριν τῆς εὐσεβείας. . . . Ἦν εὐσεβής, ἐλεήμων, ταπεινός, ἐπιεικής, οὐδενὸς ὠλιγώρει, οὐδενὸς κατεφρόνει . . . ἐνεψύχου τοὺς περιτρόμους, ἐπράϋνε τοὺς βιαίους, τοὺς μὲν ᾠκοδόμει τοῖς λόγοις, τοὺς δὲ τῷ παραδείγματι. . . . Καί, ὡς ἔπος εἰπεῖν, ἅπαντα τὰ ἀγαθὰ ἔσχεν ἐν ἑαυτῷ, διότι

στῖνος ἐν τῷ βιβλίῳ de cura pro mortuis c. 16. [Τοῦτο λέγει ὁ Αὐγουστῖνος καὶ ἐν τῷ συγγράμματι αὐτοῦ de Civitate Dei lib. I, c. 10. Σ. Μ.] Γρηγόριος ὁ Διάλογος γράφει (Dial. lib. III c. I), ὅτι ὁ ἅγ. Παυλῖνος ἐπώλησεν ἑαυτὸν τοῖς Βανδάλοις, ἵνα ἐξαγοράσῃ τὸν υἱὸν πτωχῆς χήρας, καὶ ὅτι μετὰ ταῦτα ὁ βασιλεὺς αὐτῶν μαθών, ὅτι ἦν ἐπίσκοπος ἀπέστειλεν εἰς Ἰταλίαν μετὰ τιμῶν αὐτόν τε καὶ ἅπαντας τοὺς αἰχμαλώτους συμπολίτας αὐτοῦ. Ὁ Ceillier λέγει, ὅτι τοῦτο συνέβη τῷ Νώλης ἐπισκόπῳ Παυλίνῳ τῷ Β΄, ἀποθανόντι τῷ 442. Τὴν γνώμην αὐτοῦ στηρίζει α΄] ἐπὶ τούτου ὅτι οἱ Βάνδαλοι εἰσήλασαν εἰς τὴν Ἰταλίαν πρὸ τοῦ 442, ἀλλ' οὐ πρὸ τοῦ 431, ὅτε ἐτελεύτησεν ὁ ἅγιος Παυλῖνος· β΄] ἐπὶ τοῦ ὅτι οὔτε ὁ Αὐγουστῖνος, οὔτε ὁ Οὐράνιος, οὔτε ἄλλος τῶν συγχρόνων αὐτῷ λέγουσί τι περὶ τοῦ γεγονότος ὅπερ περιγράφει ὁ Γρηγόριος. Ἄλλοι, ὡς ὁ Μουρατόριος, καὶ ὁ Παπεβρούκ, λέγουσιν, ὅτι τοῦτο ἐγένετο Παυλίνῳ τῷ Γ΄, προειπόντι τῷ βασιλεῖ Τρασιμούνδῳ τὸν θάνατον αὐτοῦ, συμβάντα τῷ 511. Τοῦτό ἐστι λίαν πιθανόν, διότι ὁ Γρηγόριος, γράψας τοὺς διαλόγους αὐτοῦ τῷ 540, λέγει, ὅτι ποιεῖται λόγον περὶ τοῦ Παυλίνου ἐκ τῶν λόγων τριῶν αὐτοπτῶν.